ΕΚ ΤΩΝ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ-
τρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας,

ΗΘΙΚΟΙ ΛΟΓΟΙ ΚΔ. ΔΙΑ
Συμεὼν τοῦ μαγίστρου καὶ λογοθέτου.

EX LIBRIS
D. Basilij Archiepiscopi Cæsareæ Cappadociæ, orationes de Moribus XXIIII. Simone magistro ac logotheta auctore.

Ex bibliotheca Regia.



Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M. D. LVI.
Apud Guil. Morelium, in Græcis typograph. Regium.
PRIVILEGIO REGIS.

ΛΟΓΩΝ ΗΘΙΚΩΝ ΕΚ τῶν Βασιλείου, ὑποθέσεις.

ΗΘΙΚΟΙ

ΗΘΙΚΟΙ ΛΟΓΟΙ ΚΔ.

ἐκλεχθέντες διὰ Συμεὼν τοῦ μαγίστρου καὶ λογοθέτου ἐκ πάντων τῶν πραγματειῶν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας.

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.



ΜΕΝ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τοῖς ἀποστόλοις, πορευθέντες, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς, οὐχὶ τὰ μὲν τηρεῖν, τὰ δὲ ἀμελεῖν, ἀλλὰ τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, τοῦτ᾽ ἔστι, μηδὲ μικρόν τι παρεῖναι τῶν διατεταγμένων. εἰ γὰρ μὴ πάντα ἡμῖν πρὸς τὸν τῆς σωτηρίας σκοπὸν ἀναγκαῖα ἦν, οὔτ᾽ ἂν ἐγράφησαν πᾶσαι αἱ ἐντολαὶ, οὔτ᾽ ἂν πάσας φυλαχθῆναι

διηγορεύθη. Ημεῖς δὲ μίαν που τὴν ἐντολὴν πεποιηκέναι νομίσαντες· οὐ γὰρ ἂν φαίην ὅτι ποιήσαντες· πᾶσαι γὰρ ἀλλήλων ἔχονται κατὰ τὴν ὑγιῆ τοῦ σκοποῦ λόγον, ὡς ἐν τῇ λύσει τῆς μιᾶς καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης συγκαταλύεσθαι· οὐκ ἐπὶ τοῖς παρεθεῖσι τὴν ὀργὴν ἐκδεχόμεθα· ἀλλ' ἐπὶ τῷ κατορθωθέντι δῆθεν τὰς τιμὰς ἀναμενόμενοι, οὐκ εἰδότες ὡς ὁ ἐκ τῶν δέκα ταλάντων τῆς παρακαταθήκης ἕν που ἢ δύο κατασχὼν, τὰ δὲ λοιπὰ ἀποτίσας, οὐχὶ εὐγνώμων διὰ τὴν ἀπότισιν τῶν πλειόνων γνωρίζεται, ἀλλ' ἄδικος καὶ πλεονέκτης ἐπὶ τῇ τῶν ἐλαττόνων ἀποστερήσει ἐλέγχεται. Τί δὲ λέγω, ἀποστερήσει, ὁπότε ὁ τὸ ἓν τάλαντον πιστευθεὶς, εἶτα ἀποδοὺς ἐκεῖνο αὐτὸ ὁλόκληρον καὶ ἀκέραιον ὃ ὑπεδέξατο, ὅτι μὴ προσειργάσατο τῷ δοθέντι κατακρίνεται· καὶ ὁ δέκα ἔτη τὸν πατέρα τιμήσας, μίαν δὲ πληγὴν ὕστερον ἐμβαλὼν μόνην, οὐχ ὡς εὐεργέτης

τιμᾶται, ἀλλ' ὡς παραλοίας καταδικάζει.

Ὁ τοίνυν ἐν προκοπῇ γνώμῃ ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς προπεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως, ὅτι γὰρ σάμβος καλὸν θεοῦ ῥῆμα, καὶ γνώσεως μυστηρίου ἀξιωθεὶς, πάντα προέδωκεν, ἡδονῇ βραχείᾳ δελεασθείς. Δέον οὖν ἡμᾶς, εἴπερ ἐθέλοιμεν ἀσφαλῶς τὴν ὑποκειμένην ὁδὸν τοῦ βίου διαδραμεῖν, καὶ παραστῆσαι Χριστῷ τὴν ψυχήν τε ὁμοῦ καὶ τὸ σῶμα τῆς ἐκ τῶν τραυμάτων αἰσχύνης ἐλεύθερα, καὶ τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους λαβεῖν, ἐγρηγορότας περιάγειν ἀεὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, καὶ πάντα ὑποβλέπειν ὅσα τερπνά, καὶ μηδενὶ προσερείδειν τὴν ἔννοιαν, μηδὲ εἰ χρυσὸς φαίνοιτο χύδην προκείμενος, ἕτοιμος εἰς τὰς τῶν βουλομένων χεῖρας ἐλθεῖν. πλοῦτος γάρ φησιν,

ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν, μηδὲ εἰ γῆ βλαστάνουσα τροφὰς, καὶ πολυτελεῖς διακνύουσα σκηνάς. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανῷ, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Χριστόν· μηδὲ εἰ χορεῖαι, καὶ κῶμοι, καὶ μέθαι, καὶ καταυλούμεναι τράπεζαι· ματαιότης γάρ φησι, ματαιοτήτων, τὰ πάντα ματαιότης· μηδὲ εἰ σωμάτων κάλλη περιτείνοι παρὰ πονηρῶν ψυχῶν ἐνοικούμενα· ἀπὸ προσώπου γὰρ γυναικὸς, ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε, φησὶν ὁ σοφός· μηδὲ εἰ δυναστεῖαι καὶ τυραννίδες, καὶ δορυφόρων ἢ κολάκων ἑσμοί· μηδὲ εἰ θρόνος ὑψηλὸς καὶ λαμπρὸς, ὑποζεύξας ἔθνη καὶ πόλεις εἰς δουλείαν ἀκούσιον· πᾶσα γὰρ σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. τούτοις γὰρ δὴ πᾶσι τοῖς οὕτω τερπνοῖς ὁ κοινὸς ὑποκάθηται δυσμενὴς, αἰαμένων πότε τοῖς ὁρωμένοις δελεασθεί-

τες, τῆς μὲν ἀληθείας ἐκτρεπώμεθα ὁδοῦ· πρὸς δὲ τὸν ἐκείνου λόχον ἑαυτοὺς ἀποκλίνωμεν. καὶ δέος πολὺ, μή ποτε προσδραμόντες ἀφυλάκτως αὐτοῖς, καὶ τὴν ἐκ τῆς ἀπολαύσεως τέρψιν οὐδὲν ἡγησάμενοι βλαβερὸν, ἐγκεκρυμμένον τῇ πρώτῃ γεύσει ὃ τοῦ διαβόλου καταπίωμεν ἄγκιστρον· εἶτα ὑπὸ τούτου τὰ μὲν ἑκόντες, τὰ δὲ ἄκοντες προσδεθῶμεν αὐτοῖς, καὶ πρὸς ὃ φοβερὸν τοῦ ληστοῦ καταγώγιον τὸν θάνατον, λάθωμεν ἑλκυσθέντες ὑπὸ τῶν ἡδονῶν.

Αἱ μὲν γὰρ ἀρεταὶ, ὅταν ἐξ ἐπιμελείας συναφθῶσι τῇ φύσει, ἡμέτερα κτήματα γίνεται, καὶ οὔτε ἐπὶ γῆς μοχθοῦντας ἡμᾶς ἀπολιμπάνειν ἐθέλουσιν, ἂν μὴ πρὸς βίαν αὐτὰς ἑκόντες ἀποδιώξωμεν ταῖς τῶν χειρόνων ἐπαγωγαῖς· ἐκεῖσέ τε ἐπειγομένων προτρέχουσι, καὶ τοῖς ἀγγέλοις τοὺς κτησαμένους συνάπτουσι, καὶ λάμπουσι δι' αἰῶνος ὑπὸ τοῖς τοῦ κτίσαντος ὀφθαλμοῖς· πλοῦτος δὲ καὶ

δυναστεία, καὶ περιφάνεια, καὶ τρυφὴ, καὶ πᾶς ὁ τοιοῦτος ὄχλος ὁ καθ' ἡμέραν ἐκ τῆς ἡμετέρας ἀνοίας αὐξανόμενος, οὔτε συμπαρεισῆλθε πρὸς τὸν βίον ἡμῖν, οὔτε συναπῆλθέ τισιν· ἀλλὰ τὸ τῷ δικαίῳ πάλαι ῥηθὲν ἐπὶ παντὸς ἀνθρώπου πέπηγε καὶ κρατεῖ· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. Τί οὖν σοι λοιπὸν τελέστερον, τὴν πρόσκαιρον ἑλέσθαι ζωὴν, καὶ δι' αὐτὴν τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπαθῆσαι, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου ζωῆς· τὰ μὲν γὰρ τοῦ σώματος βάρη ταῖς ἐπὶ τῆς τρυτάνης ῥοπαῖς δοκιμάζομεν· τὰ δὲ τοῦ βίου ἐκλεκτὰ, τῷ αὐτεξουσίῳ τῆς ψυχῆς διακρίνομεν, ὃ καὶ ζυγὸν ὠνόμασεν ἡ γραφὴ, διὰ τὸ ἴσην δύνασθαι λαμβάνειν τὴν ῥοπὴν ἐφ' ἑκάτερα. Οἷον τί λέγω, πορνεία καὶ σωφροσύνη παρὰ σοὶ κρίνεται, καὶ ὑψηλὸς

παρακαθέζεταί σοι ὁ νοῦς, πεπιστευμένος τὸ δικαστήριον, καὶ ἡ μὲν ἡδονὴ συνηγορεῖ τῇ πορνείᾳ, ὁ δὲ φόβος τοῦ θεοῦ τῇ σωφροσύνῃ συνίσταται· ἐὰν μὲν οὖν καταδικάσῃς τὴν ἁμαρτίαν, δὸς δὲ νικῆσαι τὴν σωφροσύνην, εὐθεῖαν ἐποιήσω τὴν κρίσιν τοῦ πράγματος· ἐὰν δὲ τῇ ἡδονῇ δῷς τὴν ῥοπήν, προτιμοτέραν ἀποφήνῃς τὴν ἁμαρτίαν, σκολιὸν ἐποιήσω τὸ κρίμα, ὑπόδικος γενόμενος τῇ ἀρᾷ τοῦ εἰπόντος, οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οἱ λέγοντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς. Ἐπεὶ οὖν πᾶσα ἀρετὴ πρὸς πᾶσαν κακίαν διαδικάζεται, τότε δὴ ἐπίδειξαι τὴν εὐθύτητα τῶν κριμάτων ἐν τῷ κρυπτῷ σου τῆς ψυχῆς κριτηρίῳ, καὶ οἱονεὶ πάρεδρον σεαυτοῦ τὴν ἐντολὴν ποιησάμενος, δεῖξον τὸ μισοπόνηρον, ἀποστρεφόμενος μὲν τὰς ἁμαρτίας. ὑπερτιμῶν δὲ τὰς ἀρετάς. ἐὰν γὰρ ἐφ' ἑκάστης πράξεως νικᾶν ποιήσῃς παρὰ σοὶ τὰ βελτίο-

να, μακάριος ἔσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν κρίνῃ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιον ἡμῶν, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, οὐκ ἀπέρχῃ καταδεδικασμένος διὰ τὴν πρὸς τὰ φαῦλα ῥοπὴν, ἀλλὰ τοῖς τῆς δικαιοσύνης τιμηθήσῃ στεφάνοις, οἷς παρὰ πάντα σου τὸν βίον τὴν ἀρετὴν ἐστεφάνωσας. Ὥσπερ γὰρ ὁ τοξίτης πρὸς τὸν σκοπὸν ἀπευθύνει τὸ βέλος, οὔτε ὑπερβολαῖς, οὔτε ἐλλείψεσιν, οὔτε ταῖς ἐφ᾽ ἑκάτερα παρατροπαῖς ἀποπλανῶν τὴν τοξείαν· οὕτως ὁ κριτὴς ὀφείλει τοῦ δικαίου καταστοχάζεσθαι, οὔτε πρόσωπα λαμβάνων· γνωρίζειν γὰρ πρόσωπον ἐν κρίσει οὐ καλόν· οὔτε ποιῶν κατὰ πρόσκλησιν, ἀλλ᾽ εὐθείας καὶ ἀδιαστρόφους ἐκφέρων τὰς κρίσεις· καὶ δύο κρινομένων παρ᾽ αὐτῷ τοῦ τε πλεονεκτοῦντος, καὶ τοῦ τὸ ἔλαττον ἔχοντος, ὀφείλει αὐτὸς ἵστασθαι ἐπανισῶν αὐτοὺς πρὸς ἀλ-

ἀλλήλοις, καὶ τοσοῦτον ἀφαιρῶν τοῦ ὑπερέχοντος, ὅσον ἐλαττούμενον εὑρίσκει τὸν ἀδικούμενον. Τὰ μὲν γὰρ ἄλλα τῶν κτημάτων, οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ τοὐναντίον τῶν ἐπιτυχόντων ἐστίν, ὥσπερ ἐν παιδιᾷ κύβων, τῇ δὲ κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετος, καὶ ζῶντι, καὶ τελευτήσαντι παραμένουσα· ὅθεν δὴ καὶ Σόλων μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν, τό, ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί, χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Διὸ ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων. Καὶ οὕτως βιώσωμεν, ὡς μηδέποτε τὰ παρελθόντα κρείττονα εἶναι τῶν μελλόντων· μηδὲ εἴπωμεν, ὅτι αἱ ἡμέραι αἱ πρότερον ἀγαθαὶ ἦσαν ὑπὲρ ταύτας· ἐὰν γὰρ αἱ προσάγου-

σαι ἡμέραι βελτίους ὦσι τῶν μετὰ ταῦτα, λεχθήσεται ἡμῖν, ταῦτα ἐπάθετε εἰκῇ ἀμαυρουμένων τῶν καλῶν ὑπὸ τῆς ἐν τοῖς ὕστερον ἀμελείας. Ὥσπερ γὰρ ὁ τελειούμενος τοῖς ἔμπροσθεν ἐπεκτείνεται, οὕτως ὁ ἁμαρτάνων εἰς τὸ κατόπιν ἀναποδίζει· Τίς δὲ μείζων κακίας ἀπόδειξις ἢ ἡ τοῦ ἀγαθοῦ ἐγκατάλειψις, καὶ πονηρίας ὑπερβολὴ τὸ παρεξῶσαι τὸν ἀγαθὸν καὶ πρᾶον. Τὸ γὰρ ἔσχατον ἐν πονηρίᾳ, καὶ πρὸς ἑαυτό ἐστιν ἀσύμφωνον. Καὶ ἔοικε τὸ κακόν, οὐ τῷ ἀγαθῷ ἐναντιοῦσθαι μόνον, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ. Ὥσπερ οὖν ἡττᾶται σκότος τῇ τοῦ φωτὸς προσουσίᾳ, καὶ νικᾶται νόσος τῇ τῆς ὑγείας ἐπιδημίᾳ, καὶ ἡ κατ᾽ ἀρετὴν προκοπὴ ἐπὶ τὸ μεῖζον ἀπὸ τῶν ἐλαττόνων τὴν αὔξησιν ἔχει· οὕτως καὶ ἡ τῆς κακίας χύσις ἀπὸ τῶν ὑποδεεστέρων τῶν ἐξ ἀρχῆς, ἐπὶ τὸ ἀνήκεστον φέρεται. Ἀρχὴ δὲ πρὸς τὴν ἀνάληψιν τῶν καλῶν, ἡ ἀναχώρησις τῶν κα-

τῶν. ἔκκλινον γάρ φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. εἰ γὰρ εὐθὺς προσέβαλέ σοι τὰ τέλεια, ἀπώκνησας ἂν πρὸς τὴν ἐγχείρησιν. νυνὶ δὲ τοῖς εὐληπτοτέροις προσεθίζει, ἵνα κατατολμήσῃς τῶν ἐφεξῆς. ὡς γὰρ ἐπὶ τῆς κλίμακος πρώτη ἀνάβασις, ἡ τῆς γῆς ἀναχώρησις· οὕτως ἐπὶ τῆς κατὰ θεὸν πολιτείας, ἀρχὴ προκοπῆς, ὁ τῶν κακῶν χωρισμός. Ἕως μὲν οὖν νήπιός ἐστιν ἕκαστος ἡμῶν, τὸ ἐν τῷ παρόντι ἡδὺ διώκων, οὐδεμίαν τοῦ μέλλοντος κηδεμονίαν ποιεῖται· ἀνὴρ δὲ γενόμενος, μετὰ τὸν ἀπαρτισμὸν τῆς ἐννοίας, οἷον ὁρᾶν δοκεῖ τὸν βίον αὐτῷ σχιζόμενον πρὸς ἀρετὴν καὶ κακίαν· καὶ πυκνὸν πρὸς ἑκάτερον τὸ ὄμμα τῆς ψυχῆς μεταστρέφων, παράλληλα κρίνει τὰ ἑκατέρῳ προσόντα· καὶ ὁ μὲν τῶν ἁμαρτωλῶν βίος πάντα δείκνυσι τὰ τοῦ παρόντος αἰῶνος τερπνά· ὁ δὲ τῶν δικαίων, μόνα ὑποφαίνει τὰ τοῦ μέλλοντος ἀγαθά· καὶ ἡ μὲν τῶν σωζομένων

ὁδὸς, ὅσον καλὰ ὑπισχνεῖται τὰ μέλλοντα, τοσοῦτον ἐπίπονα παρέχεται τὰ παρόντα· ὁ δὲ ἡδὺς καὶ ἀκόλαστος βίος, οὐχὶ προσδοκωμένην εἰς ὕστερον, ἀλλ' ἤδη παροῦσαν προτείνεται τὴν ἀπόλαυσιν. μακάριος οὖν ὁ μὴ περιβαπεὶς ἐκ τοῦ τῆς ἡδονῆς δελεάσματος πρὸς τὴν ἀπώλειαν, καὶ ἐν τῇ ἐπιλογῇ τῶν ὁδῶν ἑκατέρων μὴ ἐπιβὰς τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὰ χείρονα. Μακάριος ὁ πάσης ἐλπίδος τῶν κατὰ τὸν κόσμον τοῦτον ἑαυτὸν ἀποστήσας, καὶ μόνην ἔχων ἑαυτοῦ ἐλπίδα τὸν θεόν· ὡς γὰρ ἐπικατάρατος ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, οὕτως εὐλογημένος ὁ ἐπιστηριζόμενος τῷ κυρίῳ. οὐ γὰρ ἐπιδέχεται ἐπαμφοτερισμὸν ἡ εἰς θεὸν ἐλπὶς, οὐδὲ καταδέχεται ὁ κύριος ὁλόκληρον τὴν παρ' ἑαυτοῦ παρέχειν βοήθειαν, τῷ ποτὲ μὲν ἐπὶ χρήμασιν ἠλπικότι, καὶ δόξῃ ἀνθρωπίνῃ, καὶ δυνάμει τῇ κατὰ κόσμον· ποτὲ δὲ αὐτὸν ὡς ἐλπίδα ἑαυτοῦ προβαλ-

λόμενον· ἀλλὰ δεῖ ἀληθινῶς ἐπόμενα παύεσθαι τῇ παρὰ τοῦ θεοῦ βοηθείᾳ. Ἀμαθεῖς δὲ ἄνθρωποι καὶ φιλόκοσμοι, ἀγνοοῦντες αὐτοῦ τοῦ ἀγαθοῦ τὴν φύσιν, μακαρίζουσι πολλάκις τὰ μηδενὸς ἄξια, πλοῦτον, ὑγείαν, περιφανῆ βίον, ὧν οὐδέν ἐστιν ἀγαθὸν τῇ ἑαυτοῦ φύσει, οὐ μόνον καθ' ὅτι ῥᾳδίαν ἔχει τὴν πρὸς τὰ ἐναντία περιτροπήν, ἀλλ' ὅτι μηδὲ ἀγαθοὺς δύναται τοὺς κεκτημένους ἀποτελεῖν. Ὁ μὲν οὖν ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστὸς, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὰ ἐπιβάλλοντα, καὶ ἀναντιῤῥήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται. Καὶ οἱ μὲν τὸ ἀγαθὸν ἐργαζόμενοι, ἐν αὐτῷ τῷ ἔργῳ τὸ εὐαπόδεκτον ἔχουσιν· οἱ δὲ τὸ κακὸν φεύγοντες οὐκ ἐὰν ἅπαξ ἢ δεύτερον ἐκκλίνωσιν, ὦσιν ἤδη ἐπαινετοὶ, ἀλλ' ἐὰν δυνηθῶσι τοῦ κακοῦ τὴν πεῖραν εἰς τὸ παντελὲς διαδρᾶναι. Εἰ

οὕτω δεῖ βίον μὲν ἄριστον ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. αἰσχρὸν γὰρ τὸν παρόντα καιρὸν προεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθὸν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις. Τῷ ὄντι γὰρ ἀμήχανόν ἐστι χωρητικοὺς γενέσθαι ἡμᾶς τῆς θείας χάριτος, μὴ τὰ ἀπὸ κακίας πάθη προκατασχόντα τὰς ψυχὰς ἡμῶν ἐξελάσαντας. εἶδον ἰατροὺς ἐγὼ, μὴ πρότερον διδόντας τὰ σωτήρια φάρμακα, πρὶν ἐμέτοις ἀποκενῶσαι τὴν νοσοποιὸν ὕλην, ἣν ἐκ πονηρᾶς διαίτης ἑαυτοῖς οἱ ἀκόλαστοι ἐναπέθεντο· ἀλλὰ καὶ ἀγγεῖον προκατειλημμένον ὑπό τινος ὑγροῦ δυσώδους, μὴ ἐκπλυθὲν, οὐ μὴ δέξηται τοῦ μύρου τὴν ἐπιῤῥοήν. δεῖ τοίνυν ἐκχυθῆναι τὰ προϋπάρχοντα, ἵνα δυνηθῇ χωρηθῆναι τὰ ὑπαγόμενα. Πᾶσι μὲν γὰρ πάρεστι τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν, τὴν ἰδίαν ἐμ-

φέρει δύναμιν· τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων, οὐκ ἔτι. Ἀδύνατον γὰρ εἰς διαφόρους φροντίδας τοῦ νοῦ μεριζομένου, κατορθοῦσθαι τὸ σπουδαζόμενον, καθὼς ὁ κύριος ἀπεφήνατο εἰπών· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· καὶ πάλιν, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. Οὔτε γὰρ ἄλλης τινὸς ἐντολῆς τήρησιν, οὔτε αὐτὴν τὴν πρὸς θεὸν ἀγάπην, οὔτε τὴν πρὸς τὸν πλησίον δυνάμεθα κατορθῶσαι, ἄλλοτε περὶ ἄλλα ταῖς διανοίαις ἀποπλανώμενοι. οὔτε γὰρ τέχνην, ἢ ἐπιστήμην ἀκριβῶς καταλαβεῖν δυνατόν, ἄλλοτε ἐπ' ἄλλην μεταβαίνοντα· οὔτε μὴν μιᾶς περιγενέσθαι, μὴ τὸ οἰκεῖον τοῦ τέλους γνωρίσαντα. Δεῖ γὰρ ἀκολούθους εἶναι τῶν σκοπῶν καὶ τὰς πράξεις, ὡς οὐδενὸς τῶν κατὰ λόγον διὰ τῶν ἀνοικείων κατορθουμένων, ἐπεὶ οὔτε χαλκευτικῆς τέλος διὰ τῶν ἔργων τῆς κεραμείας περιγινέ-

σθαι πέφυκεν, οὔτε ἀθλητικοὶ στέφανοι ἐκ τῆς περὶ τὸ αὐλεῖν σπουδῆς κατορθοῦνται, ἀλλ' ἑκάστῳ τέλει οἰκεῖος ὁ πόνος καὶ συναρμόζων ἐπιζητεῖται. Ὥσπερ οὖν καὶ ἡ ἄσκησις τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ πρὸς θεὸν εὐαρεστήσεως ἐν τῇ ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κόσμου καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν περισπασμῶν κατορθοῦται, λυθῆναι οὖν δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου, τόν γε ἀληθινῶς ἀκολουθεῖν μέλλοντα τῷ θεῷ. τοῦτο δὲ οὐκ ἄλλως, ἢ διὰ παντελοῦς ἀναχωρήσεως, καὶ λήθης τῶν παλαιῶν ἠθῶν κατορθοῦται. Ὡς εἰ μὴ ἀποξενώσαιμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς σχέσεως μεταβαίνοντες, ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς θεὸν εὐαρεστήσεως. Ὁ τοίνυν πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος, εἰ τοῖς ἀνθρωπίνοις ἐμμολύνοιτο πάθεσιν,

ὅμοιος

ὅμοιός ἐστι δορᾷ παρδάλεως, ἧς οὔτε λευκὴ παντελῶς ἡ θρὶξ, οὔτε μέλαινα δι' ὅλου, ἀλλὰ τῇ μίξει τῶν ἑτεροχροούντων διεστιγμένη, οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται, οὔτε πάλιν ἐν τοῖς μεμελανωμένοις. Ὥσπερ οὖν οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα· οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων, ἀποβλέπειν, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως. Εἰ γὰρ βοῦς μὲν συνεργὸς ἡμῖν εἰς γεωργίαν παραδοθεὶς, καὶ φωνῆς τοῦ τρέφοντος ἐπαισθάνεται, καὶ τὸν συνήθως αὐτῷ προσφέροντα τὴν τροφὴν ἐπιγινώσκει, ὄνος δὲ αὐτομάτως ἐπὶ τοὺς συνήθεις τῆς καταλύσεως τόπους ὁρμᾷ, καὶ τὸ-

ταύτῃ τοῖς ἀλόγοις πρὸς τὸν ἐπιμελούμενον ἡ (συνήθεια, πόσον ἡ λογικὴ φύσις τῆς πρὸς θεὸν ἀγάπης τὸ μέτρον ἀπαιτηθήσεται).

Οὐδὲ γὰρ μία πρᾶξις τελειοῖ τὸν σπουδαῖον, ἀλλὰ παντὶ προσήκει τῷ βίῳ τὰς κατ' ἀρετὴν ἐνεργείας συμπαρατείνεσθαι.

Καὶ καθάπερ οἱ ἐπὶ τὸ λουτρὸν εἰσιόντες, γυμνοῦνται παντὸς περιβλήματος· οὕτως χρὴ καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ, πάσης ὕλης βιωτικῆς γυμνωθέντας, ἐν τοῖς τοῦ κατὰ φιλοσοφίαν γίνεσθαι βίου.

Γίνεσθε γάρ φησι, φρόνιμοι ὡς οἱ ὄφεις· ὃς ἐπειδὰν ἀποδύεσθαι δέῃ τὴν λεβηρίδα, στενῷ τόπῳ καὶ ἀκριβῶς περισφίγγοντι τὸ σῶμα ἐπιδοὺς ἑαυτὸν, φρονίμως καὶ συνετῶς ἀποδύεται τὸ γῆρας. ὥσπερ οὖν καὶ ἡμᾶς βούλεται ὁ λόγος, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ πορευομένους, ἀποδύεσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐνδύεσθαι δὲ τὸν νέον· ὥστε καὶ ἡμῖν ἀνακαινισθῆναι

ὡς ἀεὶ τοῦ τὴν νεότητα. Φωτὸς γὰρ ἀναφανέντος, ἀφανίζεται σκότος· καὶ ὑγιείας παρούσης, τὰ ὀχληρὰ τῆς νόσου πέπαυται· καὶ ἀληθείας ἀποδειχθείσης, τοῦ ψεύδους ἡ φύσις ἐλέγχεται. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ταῖς νεφέλαις ἐοίκασι, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ' ἄλλο μέρος ἐκφερομέναις· καὶ οἷς μὲν εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον· οἷς δὲ πεπηγυῖα ἡ γνώμη, καὶ ἀεὶ ἑστῶσα, καὶ ἡ αὐτή, τούτοις ἀκόλουθον συμφώνως τῇ προαιρέσει τὴν ζωὴν διεξάγειν. Πολλοὶ δὲ καὶ τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι, χαρίεντα μὲν, τὸν εὐτράπελον λέγουσι· τὸν δὲ αἰσχρολόγον, πολιτικόν· καὶ τὸν πικρὸν καὶ ὀργίλον, ἀκαταφρόνητον ὀνομάζουσι· τὸν φειδωλὸν καὶ ἀκοινώνητον, ὡς οἰκονομικὸν ἐπαινοῦσι· τὸν ἄσωτον, ὡς ἐλευθέριον· τὸν πόρνον καὶ ἀσελγῆ, ἀπολαυστικόν τινα καὶ ἀνειμένον· καὶ ἁπα-

ξαπλῶς, πᾶσαν κακίαν ἐκ τῆς ὑποκει-
μένης ἀρετῆς ὑποκορίζονται οἱ τοιοῦτοι,
τῷ στόματι μὲν εὐλογοῦσι κατὰ τὸν Δαβίδ,
τῇ δὲ καρδίᾳ καταρῶνται. ἐν γὰρ τῇ τῶν ῥη-
μάτων εὐφημίᾳ πᾶσαν κατάραν ἐπά-
γουσιν αὐτῶν τῇ ζωῇ, ὑποδίκους αὐτοὺς τῇ
αἰωνίᾳ κατακρίσει, δι' ὧν ἀποδέχονται καθι-
στῶντες. Ὥσπερ οὖν οὐκ ἔστι δικαίου κρι-
τοῦ ἴσας πρὸς ἴσας ὁρίζειν τὰς ἀντιδόσεις,
ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ μετὰ
προσθήκης ἀποτίσαι τὰ ὀφλήματα, εἰ
μέλλοι αὐτός τε βελτίων ταῖς τιμωρίαις
γενήσεσθαι, καὶ τοὺς λοιποὺς σωφρονεστέρους
ποιεῖν τῷ ὑποδείγματι· Οὕτως καὶ ὁ τὸ
κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῶν,
διπλασίονος τιμωρίας ἐστὶν ἄξιος, διότι
αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρη-
ται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴ-
ποι τις, τῷ καλῷ συνεργῷ. Φευκτέον οὖν τῷ
σωφρονοῦντι τὸ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς

πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου.

Ὥστε κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγῃ, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. τὸν γὰρ μὴ οὕτως ἔχοντα, τί τοῦ αἰγυπτίου σοφιστοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγένετο, καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ, καὶ ὕδωρ, καὶ πάντα χρήματα.

Εἴπερ δὴ καὶ αὐτὸς, νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι, νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκης ἐστὶ κολάκων, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλοῦν.

Ὁ μὲν γὰρ ἀληθὴς λόγος, καὶ ἀπὸ ὑγιοῦς διανοίας προϊὼν, ἁπλοῦς ἐστὶ καὶ μονότροπος, τὰ αὐτὰ λέγων περὶ τῶν αὐτῶν πάντοτε· ὁ δὲ ποικίλος καὶ ἔντεχνος, πολὺ τὸ ἐπίπλοκον καὶ ἐπικατάσκευον ἔχων, μυρία κα-

τασχηματίζεται, καὶ στρέφεται στροφὰς ἀμυθήτους, πρὸς ὃ τῶν ἐντυγχανόντων ἀρέσκειν μεταμορφούμενος. Ὅταν γὰρ ἄλλως μὲν φύσεως ἔχῃ τὰ πράγματα, ἄλλως δ' οἱ λόγοι περὶ αὐτῶν ἀναπείθωσι, στροφή τίς ἐστι, μᾶλλον δὲ διαστροφὴ, ἀπὸ τοῦ λόγου περὶ τὴν ἀλήθειαν γινομένη· καὶ ὁ ἄλλως μὲν φαινόμενος, ἄλλως δὲ ὢν κατ' ἀλήθειαν, στροφαῖς κέχρηται λόγων, ἀπατῶν τοὺς συνιόντας, ὥσπερ τοὺς κύνας λαγωοὶ καὶ ἀλώπεκες, ἑτέραν διχνύοντες, καὶ ἑτέραν τρεπόμενοι. Ἡ δὲ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα· διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τινα λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Ὁ μὲν γὰρ τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν, οἷος πέπνυται, τοὶ δ'

σκιαὶ ἀΐσσουσιν· ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν, εἰς τὸ μέσον, καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους· ἰδίᾳ δὲ τὸ ἡδὺ περὶ τῆς σωφροσύνης, καὶ τὸ πλέον ἔχειν περὶ τοῦ δικαίου τιμᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα, οἳ ὡς βασιλεῖς πολλάκις καὶ δυνάσται εἰσέρχονται, οὔτε βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν οὕτω τυχὸν ἐλεύθεροι τὸ παράπαν· εἶτα μουσικὸς μὲν, οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· ὁ δὲ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; Οὔτε γὰρ ἵππον ταχὺν ποιεῖ ἡ τοῦ παιδὸς περὶ τὸν δρόμον εὐμοιρία, οὔτε κυνὸς ἐγκώμιον τὸ ἐκ ταχυτάτων φῦναι· ἀλλ' ὥσπερ τῶν ἄλλων ζώων ἡ ἀρετὴ ἐν ἑαυτῷ θεωρεῖται ἑκάστῳ· οὕτω καὶ ἀνδρὸς

ἴδιος ἔπαινος, ὁ ἐκ τῶν ὑπὲρ πραχθέντων αὐτῷ κατορθωμάτων μαρτυρούμενος. Ἀρετῆς ἄσκησις, τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιστον δὲ θέαμα τοῖς ἐντυγχάνουσιν. Οἱ γὰρ τὴν ἀρετὴν μετιόντες, ἄστροις ἐοίκασιν, ἐν νυκτερινῇ συναφείᾳ, ἄλλοις κατ' ἄλλα μέρη τοῦ οὐρανοῦ διαλάμπουσιν, ὧν χαρίεις μὲν ἡ λαμπρότης, χαριέστερον δὲ δήπου τὸ ἀπροσδόκητον· τοιοῦτοι δὴ καὶ οὗτοι, ὀλίγοι παντελῶς καὶ εὐαρίθμητοι, ἐν τῇ σκυθρωπῇ ταύτῃ καταστάσει τοῦ βίου, οἳ ἐν σκοτομήνῃ διαφαινόμενοι, πρὸς τῷ ἐκ τῆς ἀρετῆς χαρίεντι, ἔτι καὶ τῷ σπανίῳ τῆς εὑρέσεως τὸ περιπόθητον ἔχοντες. Αἰσχρὸν δὲ ἀλλοτρίοις κόσμοις κοσμεῖσθαι τὸν τῇ οἰκείᾳ ἀρετῇ διαφαίνοντα. Καὶ μή μοι λέγε παρὰ θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν· οὐ γὰρ εὐσεβὲς τοῦτο, ἀλλὰ τὸ μηδὲν τῶν ἐναντίων παρὰ τοῦ ἐναντίου γίνεσθαι. οὔτε γὰρ ἡ ζωὴ θάνατον γεννᾷ, οὔτε τὸ σκότος φωτός ἐστιν

ἀρχή, οὔτε ἡ νόσος ὑγιείας δημιουργός. ἀλλ' ἐν μὲν ταῖς μεταβολαῖς τῶν διαθέσεων, ἐκ τῶν ἐναντίων πρὸς τὰ ἐναντία αἱ μεταστάσεις· ἐν δὲ ταῖς γενέσεσιν οὐκ ἐκ τῶν ἐναντίων, ἀλλ' ἐκ τῶν ὁμογενῶν ἕκαστον τῶν γινομένων προέρχεται. Τὸ τοίνυν κακὸν ἐστὶν οὐχὶ οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετήν, διὰ τὴν ἀπὸ τοῦ καλοῦ ἀπόπτωσιν, τοῖς ῥαθύμοις ἐγγινομένη. Μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περισκόπει, μηδὲ ἀρχέγονόν τινα φύσιν πονηρίας φαντάζου, ἀλλὰ τῆς ἐν ἑαυτῷ κακίας ἕκαστος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω. οὐ γὰρ ἂν εἴπερ ἀκούσιον ἦν καὶ μὴ ἐφ' ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νόμων ὁ φόβος τοῖς ἀδικοῦσιν ἐπήρτητο· οὕτω δὲ ἀπαραίτητοι τῶν δικαστηρίων αἱ κολάσεις, τὸ πρὸς ἀξίαν τοῖς κακούργοις ἀντιμετροῦσαι. Εἰ γὰρ τῶν κατὰ κακίαν καὶ ἀρετὴν ἐνεργημάτων, οὐκ ἐκ τοῦ ἐφ' ἡμῖν εἰσὶν

ἀρχαὶ, ἀλλ' ἐκ τῆς φύσεως αἱ διδάσκαλοι, περὶ τοῦτο μὲν οἱ νομοθέται, τὰ περικλέα ἡμῖν καὶ τὰ φαῦλα διαιροῦντες· περὶ τοῦτο δὲ καὶ οἱ δικασταί, ἀρετὴν τιμῶντες καὶ πονηρίαν κολάζοντες. οὐ γὰρ τοῦ κλέπτου τὸ ἀδίκημα, οὐδὲ τοῦ φονέως, ᾧ γε οὐδὲ βουλομένῳ δυνατὸν ἦν κρατεῖν τῆς χειρός, ἀλλὰ τὸ ἀναπόδραστον τῆς ἐπὶ τὰς πράξεις κατεπειγούσης ἀνάγκης· ματαιότατοι δὲ πάντως καὶ οἱ περὶ τὰς τέχνας πονούμενοι· ἀλλ' εὐθηνήσει μὲν ὁ γεωργὸς, μήτε σπέρμα καταβαλών, μήτε δρέπανον θηξάμενος· ὑπερπλουτήσει δὲ ὁ ἔμπορος κἂν βούληται, κἂν μὴ, τῆς εἱμαρμένης αὐτῷ συναθροιζούσης τὰ χρήματα· αἱ δὲ μεγάλαι τῶν χριστιανῶν ἐλπίδες, φροῦδοι ἡμῖν οἰχήσονται, οὔτε δικαιοσύνης τιμωμένης, οὔτε κατακρινομένης τῆς ἁμαρτίας, ἀλλὰ τὸ μηδὲν κατὰ προαίρεσιν ὑπὸ τῶν ἀνθρώπων ἐπιτελεῖσθαι. ὅπου γὰρ ἀνάγκη καὶ φύσις κρατεῖ, οὐδεμίαν ἔχει χώραν τὸ

πρὸς ἀξίαν, ὁ τῆς δικαιοκρισίας ὑπάρχει ἐξαίρετον. Καὶ γὰρ περὶ τῶν συκῶν φασὶν, ὡς οἱ μὲν τὰς ἀγρίας σύκας παραφυτεύουσι ταῖς ἡμέροις, οἱ δὲ τοὺς ὀλύνθους ἐκδήσαντες τῶν εὐκάρπων καὶ ἡμέρων συκῶν, τὴν ἀτονίαν ἰῶνται· ῥέοντα ἤδη καὶ σκεδαννύμενον τὸν καρπὸν τοῖς ὀλύνθοις ἐπέχοντες. Τί δέ σοι τὸ παρὰ τῆς φύσεως αἴνιγμα· ὅτι χρὴ πολλάκις ἡμᾶς καὶ παρὰ τῶν ἀλλοτρίων τῆς πίστεως, εὐτονίαν τινὰ προσλαμβάνειν, εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν. Ἐὰν γὰρ ἴδῃς τὸν ἐν βίῳ ἐθνικῷ, ἢ ἀπό τινος αἱρέσεως ἐκ διαστρόφου τῆς ἐκκλησίας ἀπεσχισμένον, βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιμελούμενον, πλέον σεαυτοῦ τὸ σπουδαῖον ἐπίτεινον, ἵνα γένῃ παραπλήσιος τῇ καρποφόρῳ συκῇ, ἐκ τῆς τῶν ἀγρίων παρουσίας ἀθροιζούσῃ τὴν δύναμιν, καὶ τὴν μὲν ῥύσιν ἐπεχούσῃ, ἐπιμελέστερον δὲ τὸν καρπὸν ἐκτρε-

φούσῃ. Τινὰ δὲ τῶν φυτῶν καὶ τὴν ἐκ φύσεως κακίαν ἐπιμελείαις γεωργῶν θεραπευόμενα ἔγνωμεν· οἷον τὰς ὀξείας ῥοὰς καὶ τῶν ἀμυγδάλων τὰς πικροτέρας, ὅταν διατρηθεῖσα ὁ πρὸς τῇ ῥίζῃ στέλεχος, σφῆνα πεύκης λιπαρὸν τῆς ἐντεριώνης μέσον διελαθέντα δέξωνται, εἰς εὐχρηστίαν μεταβάλλουσι τότε τοῦ χυμοῦ τὴν δυσχέρειαν.

Μηδεὶς ἐν κακίᾳ διάγων ἑαυτοῦ ἀπογνώτω. εἰ γὰρ γεωργὸς τῶν φυτῶν τὰς ποιότητας μεταβάλλει, πολλῷ μᾶλλον ἡ κατ' ἀρετὴν τῆς ψυχῆς ἐπιμέλεια, δύναται παντοδαπῶν ἀῤῥωστημάτων ἐπικρατῆσαι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑτρὸς ἡμῶν Βασιλείου, λόγ. β.

ΠΕΡΙ ΔΙΔΑΧΗΣ ΚΑΙ ΝΟΥΘΕΣΙΑΣ.



Ι ἐπὶ τοσαύταις παραινέσεσιν, ἃς ἔν τε τῷ προλαβόντι χρόνῳ παρακαλοῦντες ὑμᾶς οὐ διελίπομεν, καὶ ἐφεξῆς τῶν ἑπτὰ τῆς νηστείας ἑβδομάδων νυκτὸς καὶ ἡμέρας διαμαρτυρόμενοι ὑμῖν τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ οὐκ ἐπαυσάμεθα, οὐδὲν γέγονεν ὄφελος, ἐπὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον· ἐπεὶ καὶ γεωργὸς, τῶν πρώτων αὐτῷ σπερμάτων μὴ ἐκφυέντων ὀκνηρότερος ἔσται πρὸς τὸ δεύτερον ταῖς αὐταῖς ἀρούραις πάλιν ἐγκαταβαλεῖν·

Ὥστε κἂν ἐσιώπησα, εὖ ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα Ἱερεμίου, ὃς πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος,

ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο, ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις, καὶ παρεῖτο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν.

Ἐπεὶ γὰρ φύσει ἀρετὴ λόγου, μήτε ἀσάφεια κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον, εἰκῇ τοῖς πράγμασι περιρρέοντα. Οὐ καλὸν περὶ πολλῶν εἰσάπαξ διαλεχθῆναι, μή ποτε τῇ ἀμετρίᾳ τοῦ λόγου, ἄχρηστα φανῇ τὰ φιλοπόνως συνειλεγμένα. ἀτονοῦσα γὰρ ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ, διὰ τὴν ὑπερβολὴν τοῦ κόρου, εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ. Βίαιον μὲν γὰρ μάθημα οὐ πέφυκε παραμένειν, τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον, μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει. Διὰ τοῦτο καὶ τὸ ἐκ τῆς μελῳδίας τερπνὸν τοῖς δόγμασιν ἐγκατέμιξεν, ἵνα τῷ προσηνεῖ καὶ λείῳ τῆς ἀκοῆς τὸ ἐκ τῶν λόγων ὠφέλιμον λανθανόντως

ὑποδεχώμεθα, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἳ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσι. Διὰ τοῦτο καὶ τὰ ἐναρμόνια μέλη τῶν ψαλμῶν ἡμῖν ἐπινενόηται, ἵνα ὡς οἱ παῖδες τὴν ἡλικίαν, ἢ καὶ ὅλως οἱ νεαροὶ τὸ ἦθος, τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς ψυχὰς ἐκπαιδεύωνται. Καὶ γὰρ οἱ πωλοδάμναι τοὺς δυσηνίους τῶν πώλων οὐκ εὐθὺς κατάγχουσι τοῖς χαλινοῖς, οὐδὲ διακρούουσιν· ἀναχαιτίζειν γὰρ οὕτω καὶ ἀποσείεσθαι τοὺς ἐπιβάτας διδάσκουσιν· ἀλλὰ συνενδιδόντες τὴν φορὰν, καὶ συνεξορμῶντες αὐτοῖς, ἐπειδὰν ἴδωσιν ὑπὸ τῆς οἰκείας ὁρμῆς καὶ βίας τὸν θυμὸν ἀναλώσαντας, τότε παραλαβόντες δεδαμασμένους, εὐπειθεστέρους ποιοῦσι διὰ τῆς τέχνης. Τοῖς γ' οὖν ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γί-

νιμώτερον παρὰ μένει· ὧν δὲ ῥαδία ἡ κτῆσις, οὐ περισπούδαστος ἡ ἀπόλαυσις. εὐκαταφρόνητος γὰρ ἡ τῶν προχείρων παρουσία, καὶ οὐδεμιᾶς φυλακῆς ἀξιουμένη τοῖς ἔχουσιν. Αἰσχρὸν δὲ τὴν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ' ὥσπερ χειμάῤῥου κατασύροντος ἅπαν τὸ προστυγχάνον, ἐμβάλλεσθαι. Ὡς γὰρ τοῦ μέλιτος ἡ φύσις οὐ τοσοῦτον τῷ λόγῳ δύναται παραστῆναι τοῖς ἀπείροις, ὅσον ἀπ' αὐτῆς τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως· οὕτως οὐδὲ ἡ χρηστότης τοῦ οὐρανίου λόγου ἐναργῶς παραδοθῆναι διδασκαλίαις δύναται, ἐὰν μὴ τὰ τῆς ἀληθείας δόγματα ἐπιπλέον βασανίσαντες, δυνηθῶμεν τῇ οἰκείᾳ πείρᾳ καταλαβεῖν τὴν τοῦ κυρίου χρηστότητα. Τοῦ γὰρ φιλανθρώπου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ

πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, οὐκ ἀκίνδυνον ἀπωθεῖσθαι τοὺς τῷ κυρίῳ δι' ἡμῶν προσιόντας, καὶ ὑπελθεῖν αὐτοῦ τὸν χρηστὸν ζυγὸν βουλομένους. Προσήκει δὲ τὸν παρεληλυθότα βίον τῶν προσιόντων καταμανθάνειν, καὶ οἷς μὲν ἤδη τι κατώρθωται, τὰ τελεώτερα τῶν διδαγμάτων παραδιδόναι. τοὺς δὲ ἐκ βίου πονηροῦ πρὸς τὸν ἀκριβῆ βίον τῆς θεογνωσίας ὁρμήσαντας, ἀνακρίνειν χρή, ὁποῖοι τὸ ἦθός εἰσι, μὴ ἄστατοι καὶ πρὸς τὰς κρίσεις εὐκίνητοι. ὕποπτον γὰρ τῶν τοιούτων τὸ εὐμετάθετον, οἳ πρὸς τῷ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, ἔτι καὶ ἑτέροις αἴτιοι βλάβης γίνονται. Ἐπεὶ δὲ πάντα ἐπιμελείᾳ κατορθοῦται, καὶ φόβος θεοῦ παντοίων ἐλαττωμάτων ψυχῆς περιγίνεται, οὐδὲ τούτων ἀπογνωστέον εὐθύς, ἀλλὰ ἄγειν αὐτοὺς εἰς τὰ προσήκοντα γυμνάσια δεῖ, χρόνῳ καὶ ἐπιπόνοις ἀγωνίσμασι πεῖραν τῆς κρίσεως αὐτῶν λαμβάνοντας, ὡς ἐάν τι βέβαιον

παρ' αὐτοῖς εὕρωμεν, ἀκινδύνως αὐτοὺς προσίεσθαι· εἰ δὲ μὴ, ἔξω ὄντας ἀποπέμπεσθαι· ὥστε ἀζημίωτον τὴν πεῖραν τῇ ἀδελφότητι γίνεσθαι. Τὸν δὲ ἀπό τινος περιφανεστέρου βίου πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ κυρίου ταπεινοφροσύνην ἐπειγόμενον, ὁρίζειν χρὴ τινὰ τῶν ἐπιτηδείων εἶναι δοκούντων παρὰ τοῖς ἔξωθεν, καὶ ἐπιτηρεῖν, εἰ μετὰ πάσης πληροφορίας ἐργάτην ἀνεπαίσχυντον τῷ θεῷ ἑαυτὸν παρίστησιν.

Ὅσοι δὲ ὑπὸ ζυγὸν ὄντες δοῦλοι ταῖς ἀδελφότησι προσφεύγουσι, νουθετηθέντας ἀποπέμπεσθαι χρὴ τοῖς δεσπόταις καθ' ὁμοίωσιν τοῦ μακαρίου Παύλου, ὃς τὸν Ὀνήσιμον γεννήσας διὰ τοῦ εὐαγγελίου, ἀπέπεμψε τῷ Φιλήμονι, τὸν μὲν πληροφορήσας, ὅτι ὁ ζυγὸς τῆς δουλείας εὐαρέστως τῷ κυρίῳ κατορθούμενος, βασιλείας οὐρανῶν ἀξίους συνίστησι· τὸν δὲ παρακαλέσας μὴ μόνον ἀνεῖναι τὴν κατ' αὐτοῦ ἀπειλὴν, ἀλλὰ

καὶ χρηστοτέραν ἔχῃ πρὸς αὐτὸν τὴν διάθεσιν. Εἰ μέντοι κακὸς ὁ δεσπότης τύχοι παράνομά τινα ἐπιτάσσων, καὶ πρὸς παράβασιν ἐντολῆς θεοῦ τοῦ ἀληθινοῦ δεσπότου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν δοῦλον βιαζόμενος, ἀγωνίζεσθαι χρὴ ὅπως μὴ τὸ ὄνομα τοῦ θεοῦ βλασφημηθῇ διὰ τὸν δοῦλον ἐκεῖνον, μὴ ποιήσαντά τι, ὃ μὴ ἀρέσκῃ θεῷ. Κατορθοῦται δὲ ἀγὼν, ἢ ἐν τῷ τὸν δοῦλον ἐκεῖνον καταρτισθῆναι πρὸς ὑπομονὴν τῶν ἐπιφερομένων αὐτῷ μαθημάτων, ὑπὲρ τοῦ πειθαρχῆσαι θεῷ μᾶλλον, ἢ ἀνθρώπῳ· ἢ ἐν τῷ τοὺς ὑποδεχομένους ἀναδέξασθαι τοὺς ὑπὲρ αὐτοῦ ἐπαγομένους αὐτοῖς πειρασμούς. Τοὺς ἐν συζυγίᾳ τοῦ γάμου, τούτῳ βίῳ προσερχομένους ἀνακρίνεσθαι χρὴ, εἰ ἐκ συμφωνίας τοῦτο ποιοῦσι κατὰ τὴν διαταγὴν τοῦ ἀποστόλου, καὶ οὕτως ἐπὶ πλειόνων μαρτύρων δέχεσθαι τὸν προσερχόμενον· εἰ δὲ στασιάζοι τὸ ἕτε-

ρον μέρος καὶ διαμάχεται, ἔλαττον φροντίζον τῆς πρὸς θεὸν εὐαρεστήσεως, μνημονευέσθω ὁ ἀπόστολος λέγων, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. Τὸν τοίνυν ἐξερχόμενον ἀπὸ τῶν ἰδίων, σκοπῷ τοῦ ἀκολουθῆσαι τῷ κυρίῳ, οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι· ἀλλὰ πειρᾶσθαι πάντα μετὰ ἀκριβείας λαβόντα, ὡς τῷ κυρίῳ λοιπὸν ἀφιερωμένα, μετὰ πάσης εὐλαβείας οἰκονομεῖν, ἢ δι' ἑαυτοῦ, ἐὰν δυνατῶς καὶ ἐμπείρως ἔχῃ· ἢ διὰ τῶν μετὰ δοκιμασίας πολλῆς ἐπιλεγομένων, καὶ ἀπόδειξιν δεδωκότων, τοῦ δύνασθαι πιστῶς καὶ φρονίμως οἰκονομεῖν, εἰδότα ὅτι οὐκ ἀκίνδυνόν ἐστιν, οὔτε τὸ προσαφεῖναι τοῖς οἰκείοις, οὔτε τὸ διὰ τῶν τυχόντων οἰκονομῆσαι. Εἰ γὰρ φροντίδα βασιλικῶν κτημάτων ἐγχειρισθεὶς, κἂν μὴ νοσφίσηται πολλάκις ἐκ τῶν ἑτοίμων, ἀμελείᾳ δέ τινι καταπροδῷ τὰ προσκτηθῆναι δυνάμενα,

οὐκ ἀπολύεται τοῦ ἐγκλήματος· τίνα χρὴ προσδοκᾶν ἐπὶ τῶν ἤδη καπινομαθέντων τῷ κυρίῳ τὴν κατάκρισιν ὑποστήσεσθαι, τῶν χαύνως, καὶ ἠμελημένως διατεθέντα πρὸς τὴν τούτων διοίκησιν. Κόσμου δὲ ἀναχώρησις, οὐχὶ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀποῤῥῆξαι, καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀνίδιον, ἀφιλέταιρον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων, ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις· ἑτοιμασία δὲ καρδίας, ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκατασχόντων αὐτὴν διδαγμάτων. Πρῶτόν γε πάντων σπουδάζειν προσήκει τὸν φιλόθεον ἄνδρα περὶ τὴν τοῦ λόγου χρῆσιν, μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾶν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα

τὸν προσδιαλεγόμενον, ἐάν τι χρήσιμον λέγῃ· μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς ἐμβαλεῖν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ· μανθάνειν δὲ ἀνεπαισχύντως, καὶ διδάσκειν ἀνεπιφθόνως, καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἀποκρυπτόμενον, ὡς αἱ φαῦλαι τῶν γυναικῶν αἱ τὰ νόθα ὑποβαλλόμεναι, ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. Τόνος δὲ φωνῆς ὁ μέσος προτιμητέος, ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως, προεξετάσαντα ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον, εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν ἐν ταῖς ὁμιλίαις· οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς προσκλήσεως τὸ προσηνὲς ἔχοντα πανταχοῦ τὸ τραχὺ, κἂν ἐπιτιμῆσαι δέῃ, ἀπωθούμενον. προκαταβαλὼν γὰρ ἑαυτὸν διὰ τα-

πεινοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσται τῷ δεομένῳ τῆς θεραπείας. Πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως, ὃς τῷ Δαβὶδ ἁμαρτόντι οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον τοῦ ἰδίου δικαστὴν ἐκάθισεν ἁμαρτήματος, ὥστε αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἐπιμέμψασθαι τῷ ἐλέγξαντα. ὁλκὸς μὲν γὰρ ὕδατος, δείκνυσι τὴν οἰκείαν πηγήν· λόγου δὲ φύσις τὴν προενεγκοῦσαν αὐτὸν καρδίαν χαρακτηρίζει. Καὶ ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως καὶ κατὰ λόγον γίνηται, μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ' αὐτῶν ὠφέλιμον δείκνυται· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν λάβῃ μαρτυροῦσαν τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου,

καὶ τὴν τῶν φαινομένων τελείωσιν ἀναφαίνεται. Ὁ γὰρ τὸν κείμενον ἀνιστῶν, ὑψηλότερος εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσών, ἑτέρου καὶ αὐτὸς τοῦ ἀναστήσοντος ἐπιδέεται· Οἱ δὲ τυφλοῖς διδασκάλοις τὴν ὁδηγίαν ἑαυτῶν ἐπιτρέψαντες, ἐστέρησαν ἑαυτοὺς τῆς τοῦ φωτὸς ἀπολαύσεως. Τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς ἐλέγχειν τὸν ἁμαρτήσαντα ἀδελφὸν, οὐχὶ ἐκεῖνόν ἐστιν ἁμαρτίας ἐλευθερῶσαι, ἀλλ᾽ ἑαυτὸν περιβαλεῖν πλημμελήμασιν. ἐν γὰρ πρᾳότητι δεῖ παιδεύειν τοὺς ἀντιδιατιθεμένους, καὶ μὴ ἐν οἷς μὲν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι, ἐν οἷς δὲ ἄλλοι καταφρονούμενοι ἴδῃ, τὴν πρὸς τὸν ἡμαρτηκότα μακροθυμίαν ἐπιδείκνυσθαι· ἀλλὰ καὶ μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κακῷ τότε. οὕτω γὰρ καὶ τῆς φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν ἀποστρέ-

φεσθαι. τὸ μὲν γὰρ δι' ἑαυτὸν μεριμνᾷν καὶ ἐργάζεσθαι, φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεως ἐγκώμιον. Παντὶ δὲ τρόπῳ ἔσπω, χρὴ τὸν ἀσθενοῦντα θεραπεύειν, καὶ σπουδάζειν τὸ ἐξηρθρωμένον, ἵν' οὕτως εἴπω, μέλος ἐναρθροῦν. ἐὰν δὲ τῇ οἱᾳδηποτοῦν κακίᾳ ἐπιμένῃ, ἀφιέναι ὡς ἀλλότριον. γέγραπται γάρ, πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. Ἐὰν γὰρ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς δουλεύειν ἐθέλωσι μᾶλλον ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος. ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι, δεδιδάγμεθα ἀκούειν, ὅτι σῴζων σῶζε τὴν σεαυτοῦ ψυχήν, καὶ ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινώνει· καὶ εἰ μή τις ἐπιθυμητικῶς ἔρχεται ἐπὶ τὸ ψάλλειν, καὶ εἰ μὴ ἐπιφαίνεται αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος, ὡς γλυκεῖα τῷ

λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι τῷ στόματί μου· καὶ εἰ μὴ ζημίαν μεγάλην ἡγεῖται τοῦ ἔργου, ἢ διορθωσάσθω, ἢ ἐξαρθήτω, ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολώσῃ. Οὓς γὰρ τὰ κοινὰ ἐπιτίμια οὐ σωφρονίζει, οὔτε τὸ εἴργεσθαι τῶν εὐχῶν ἀλλ' εἰς μετάνοιαν, ἀνάγκη τοῖς παρὰ τοῦ κυρίου δοθεῖσι κανόσιν ὑποβάλλειν. γέγραπται γὰρ, ἐὰν ὁ ἀδελφός σου ἁμάρτῃ, ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ· ἐὰν σου μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ καὶ ἄλλον· ἐὰν δὲ μηδὲ οὕτως, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ὃ γοῦν ἐγένετο τούτῳ, καὶ ἐπὶ τοῦδε· ἅπαξ ἐνεκλήθη, ἐπὶ ἑνὸς καὶ δευτέρου διηλέγχθη, τρίτον ἐπὶ τῆς ἐκκλησίας· ἐπεὶ οὖν διεμαρτυράμεθα αὐτῷ, καὶ οὐ κατεδέξατο, λοιπὸν ἔσται ἐκκήρυκτος, καὶ διαγγελθήτω πάσῃ τῇ πόλει, ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοινω-

νίας χρήσεως βιωτικῆς, ὡς ἐκ τοῦ μὴ συνα-
ναμίγνυσθαι ἴαμα αὐτῇ, γίνηται παντε-
λῶς κατάβρωμα τοῦ διαβόλου. Ὥσπερ
γὰρ τῶν παίδων οἱ νήπιοι, καὶ ὀλιγωροῦντες
τῶν μαθημάτων, μετὰ τὰς μάστιγας ἃς διδά-
σκαλοι αὐτοῖς ἢ παιδαγωγοὶ προσάγουσι,
προσεχέστεροι γινόμενοι δέχονται τὰ διδάγ-
ματα· καὶ ὁ αὐτὸς λόγος περὶ μὲν τῶν πλη-
γῶν οὐκ ἠκούετο, μετὰ δὲ τὰς ἐκ τῶν μα-
στίγων ὀδύνας ἄρτι τῶν ὤτων διανοιγομέ-
νων, καὶ παρεδέχθη τῇ ἀκοῇ καὶ παρεδόθη
τῇ μνήμῃ· οὕτω καὶ ἐπὶ τῶν παρακουόντων
τῆς θείας διδασκαλίας καὶ καταφρονητικῶς
πρὸς τὰς ἐντολὰς διακειμένων συμβαί-
νει· Ἐπειδὰν ἐπαχθῇ αὐτοῖς παρὰ τοῦ
θεοῦ ἡ παιδεία, τότε δὴ μόλις τὰ ἀεὶ λα-
λούμενα, καὶ ἀεὶ παρακουόμενα τῶν τοῦ θεοῦ
προσταγμάτων, ὡς πρῶτον ἐμπεσόντα
αὐτῶν ταῖς ἀκοαῖς, παρεδέχθη κατὰ τὸν λέ-
γοντα, ὅτι ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ

ὦτα. Ὥσπερ δὲ ἀπαθῶς χρὴ προσάγεσθαι τὰς θεραπείας τοῖς ἀσθενοῦσι κατὰ ψυχήν, οὕτως πάλιν χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι τὰ ἐπιτίμια, μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας ἐπὶ σωτηρίᾳ ψυχῆς προσαγομένην αὐτοῖς ἐπιμέλειαν. αἰσχρὸν γὰρ τοὺς μὲν τὰ σώματα νοσοῦντας, τοσοῦτον τοὺς ἰατροὺς καταπιστεύειν, ὥστε κἂν τέμνωσι, κἂν καίωσι, κἂν πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι· ἡμᾶς δὲ πρὸς τοὺς τῶν ψυχῶν θεραπευτάς, ὅταν δι' ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζωνται, μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν. Ἐπεὶ οὖν φοβερὸν τὸ κρίμα τῷ προεστῶτι μὴ ἐλέγχοντι τοὺς ἁμαρτάνοντας, τὴν κοινὴν φροντίδα πεπιστευμένῳ, ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου, οὕτω διακείσθω, εἰδὼς ὅτι ἐὰν ἐμπέσῃ εἰς ἁμαρτίαν εἷς τῶν ἀδελφῶν, μὴ προειπόντος αὐτῷ τὸ δικαίωμα τοῦ θεοῦ, ἢ ἐμπε-

ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο, ὅτι ἐγίνετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις, καὶ παρεῖτο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν.

Ἐπεὶ γὰρ φύσει ἀρετὴ λόγου, μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον, εἰκῇ τοῖς πράγμασι περιρρέοντα, Οὐ καλὸν περὶ πολλῶν εἰσάπαξ διαλεχθῆναι, μή ποτε τῇ ἀμετρίᾳ τοῦ λόγου, ἄχρηστα φανῇ τὰ φιλοπόνως συνειλεγμένα. ἀπονοοῦσα γὰρ ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ, διὰ τὴν ὑπερβολὴν τοῦ κόρου, εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ. Βίαιον μὲν γὰρ μάθημα οὐ πέφυκε παραμένειν, τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον, μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει. Διὰ τοῦτο καὶ τὸ ἐκ τῆς μελῳδίας τερπνὸν τοῖς δόγμασιν ἐγκατέμιξεν, ἵνα τῷ προσηνεῖ καὶ λείῳ τῆς ἀκοῆς τὸ ἐκ τῶν λόγων ὠφέλιμον λανθανόντως

ὑποδεχώμεθα, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἳ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσι. Διὰ τοῦτο καὶ τὰ ἐναρμόνια μέλη τῶν ψαλμῶν ἡμῖν ἐπινενόηται, ἵνα ὡς οἱ παῖδες τὴν ἡλικίαν, ἢ καὶ ὅλως οἱ νεαροὶ τὸ ἦθος, τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς ψυχὰς ἐκπαιδεύωνται. Καὶ γὰρ οἱ πωλοδάμναι τοὺς δυσηνίους τῶν πώλων οὐκ εὐθὺς κατάγχουσι τοῖς χαλινοῖς, οὐδὲ διακρούουσιν· ἀναχαιτίζειν γὰρ οὕτω καὶ ἀποσείεσθαι τοὺς ἐπιβάτας διδάσκουσιν· ἀλλὰ συνενδιδόντες τὴν φορτήν, καὶ συνεξορμῶντες αὐτοῖς, ἐπειδὰν ἴδωσιν ὑπὸ τῆς οἰκείας ὁρμῆς καὶ βίας τὸν θυμὸν ἀναλώσαντας, τότε παραλαβόντες δεδαμασμένους, εὐπειθεστέρους ποιοῦσι διὰ τῆς τέχνης. Τοῖς γοῦν ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαί γε

τιμιώτερον παρὰ μέν· ὧν δὲ ῥαδία ἡ κτῆσις, οὐ περισπούδαστος ἡ ἀπόλαυσις. εὐκαταφρόνητος γὰρ ἡ τῶν προχείρων παρουσία, καὶ οὐδεμιᾶς φυλακῆς ἀξιουμένη τοῖς ἔχουσιν. Αἰσχρὸν δὲ τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ' ὥσπερ χειμάῤῥου κατασύροντος ἅπαν τὸ προστυχὸν, ἐμβάλλεσθαι. Ὡς γὰρ τοῦ μέλιτος ἡ φύσις οὐ τοσοῦτον τῷ λόγῳ δύναται παραστῆναι τοῖς ἀπείροις, ὅσον ἀπ' αὐτῆς τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως· οὕτως οὐδὲ ἡ χρηστότης τοῦ οὐρανίου λόγου ἐναργῶς παραδοθῆναι διδασκαλίαις δύναται, ἐὰν μὴ τὰ τῆς ἀληθείας δόγματα ἐπιπλέον βασανίσαντες, δυνηθῶμεν τῇ οἰκείᾳ πείρᾳ καταλαβεῖν τὴν τοῦ κυρίου χρηστότητα. Τοῦ γὰρ φιλανθρώπου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ

πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, οὐκ ἀκίνδυνον ἀπωθεῖσθαι τοὺς διὰ κυρίου δι' ἡμῶν προσιόντας, καὶ ὑπελθεῖν αὐτοῦ τὸν χρηστὸν ζυγὸν βουλομένους. Προσήκει δὲ τὸν παρελθόντα βίον τῶν προσιόντων καταμανθάνειν, καὶ οἷς μὲν ἤδη τὰ κατώρθωται, τὰ τελεώτερα τῶν διδαγμάτων παραδιδόναι. τοὺς δὲ ἐκ βίου πονηροῦ πρὸς τὸν ἀκριβῆ βίον τῆς θεογνωσίας ὁρμήσαντας, ἀνακρίνειν χρή, ὁποῖοι τὸ ἦθός εἰσι, μὴ ἄστατοι καὶ πρὸς τὰς κρίσεις εὐκίνητοι. ὕποπτον γὰρ τῶν τοιούτων τὸ εὐμετάθετον, οἳ πρὸς τῷ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, ἔτι καὶ ἑτέροις αἴτιοι βλάβης γίνονται. Ἐπεὶ δὲ πάντα ἐπιμελείᾳ κατορθοῦται, καὶ φόβος θεοῦ παντοίων ἐλαττωμάτων ψυχῆς περιγίνεται, οὐδὲ τούτων ἀπογνωστέον εὐθύς, ἀλλὰ ἄγειν αὐτοὺς εἰς τὰ προσήκοντα γυμνάσια δεῖ, χρόνῳ καὶ ἐπιπόνοις ἀγωνίσμασι πεῖραν τῆς κρίσεως αὐτῶν λαμβάνοντας, ὡς εἰ ἔνι τι βέβαιον

παρ' αὐτοῖς εὕρωμεν, ἀκινδύνως αὐτοὺς προσίεσθαι· εἰ δὲ μή, ἔξω ὄντας ἀποπέμπεσθαι· ὥστε ἀζημίωτον τὴν πεῖραν τῇ ἀδελφότητι γίνεσθαι. Τὸν δὲ ἀπό τινος περιφανεστέρου βίου πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ κυρίου ταπεινοφροσύνην ἐπειγόμενον, ὁρίζειν χρὴ τινὰ τῶν ἐπιτηδείων εἶναι δοκούντων παρὰ τοῖς ἔξωθεν, καὶ ἐπιτηρεῖν, εἰ μετὰ πάσης πληροφορίας ἐργάτην ἀνεπαίσχυντον τῷ θεῷ ἑαυτὸν παρίστησιν.

Ὅσοι δὲ ὑπὸ ζυγὸν ὄντες δοῦλοι ταῖς ἀδελφότησι προσφεύγουσι, νουθετηθέντας ἀποπέμπεσθαι χρὴ τοῖς δεσπόταις καθ' ὁμοίωσιν τοῦ μακαρίου Παύλου, ὃς τὸν Ὀνήσιμον γεννήσας διὰ τοῦ εὐαγγελίου, ἀπέπεμψε τῷ Φιλήμονι, τὸν μὲν πληροφορήσας, ὅτι ὁ ζυγὸς τῆς δουλείας εὐαρέστως τῷ κυρίῳ κατορθούμενος, βασιλείας οὐρανῶν ἄξιον συνίστησι· τὸν δὲ παρακαλέσας μὴ μόνον ἀνεῖναι τὴν κατ' αὐτοῦ ἀπειλήν, ἀλλὰ

καὶ χρηστοτέραν ἔχει πρὸς αὐτὸν τὴν διάθεσιν. Εἰ μέντοι κακὸς ὁ δεσπότης τύχοι παράνομά τινα ἐπιτάσσων, καὶ πρὸς παράβασιν ἐντολῆς θεοῦ τοῦ ἀληθινοῦ δεσπότου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν δοῦλον βιαζόμενος, ἀγωνίζεσθαι χρὴ ὅπως μὴ τὸ ὄνομα τοῦ θεοῦ βλασφημηθῇ διὰ τὸν δοῦλον ἐκεῖνον, μὴ ποιήσαντά τι, ὃ μὴ ἀρέσκῃ θεῷ. Κατορθοῦται δὲ ἀγὼν, ἢ ἐν τῷ τὸν δοῦλον ἐκεῖνον καταρτισθῆναι πρὸς ὑπομονὴν τῶν ἐπιφερομένων αὐτῷ μαθημάτων, ὑπὲρ τοῦ πειθαρχῆσαι θεῷ μᾶλλον, ἢ ἀνθρώπῳ· ἢ ἐν τῷ τοὺς ὑποδεχομένους διαδέξασθαι τοὺς ὑπὲρ αὐτοῦ ἐπαγομένους αὐτοῖς πειρασμούς. Τοὺς ἐν συζυγίᾳ τοῦ γάμου, τῷ τοιούτῳ βίῳ προσερχομένους ἀνακρίνεσθαι χρὴ, εἰ ἐκ συμφωνίας τοῦτο ποιοῦσι κατὰ τὴν διαταγὴν τοῦ ἀποστόλου, καὶ οὕτως ἐπὶ πλειόνων μαρτύρων δέχεσθαι τὸν προσερχόμενον· εἰ δὲ στασιάζοι τὸ ἕτε-

ἐν μέρει καὶ διαμάρτῃ τι, ἔλαττον φροντίζων τῆς πρὸς θεὸν εὐαρεστήσεως, μνημονευέσθω ὁ ἀπόστολος λέγων, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. Τὸν τοίνυν ἐξεργόμενον ἀπὸ τῶν ἰδίων, σκοπῷ τοῦ ἀκολουθῆσαι τῷ κυρίῳ, οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι· ἀλλὰ πειρᾶσθαι πάντα μετ᾽ ἀκριβείας λαβόντα, ὡς τῷ κυρίῳ λοιπὸν ἀφιερωμένα, μετ᾽ πάσης εὐλαβείας οἰκονομεῖν, ἢ δι᾽ ἑαυτοῦ, ἐὰν δυνατῶς καὶ ἐμπείρως ἔχῃ· ἢ διὰ τῶν μετ᾽ δοκιμασίας πολλῆς ἐπιλεγέντων, καὶ ἀπόδειξιν δεδωκότων, τοῦ δύνασθαι πιστῶς καὶ φρονίμως οἰκονομεῖν, εἰδότα ὅτι οὐκ ἀκίνδυνόν ἐστιν, οὔτε τὸ προσαφεῖναι τοῖς οἰκείοις, οὔτε τὸ διὰ τοῦ τυχόντος οἰκονομῆσαι. Εἰ γὰρ φροντίδα βασιλικῶν κτημάτων ἐγχειρισθεὶς, κἂν μὴ νοσφίσηται πολλάκις ἐκ τῶν ἑτοίμων, ἀμελείᾳ δέ τινι καταπροδῷ τὰ προσκτηθῆναι δυνάμενα,

οὐκ ἀπολύεται τοῦ ἐγκλήματος· τίνα χρὴ προσδοκᾶν ἐπὶ τῶν ἤδη κατονομασθέντων παρὰ κυρίῳ τὴν κατάκρισιν ὑποστήσεσθαι, τὸν χαύνως, καὶ ἠμελημένως διατεθέντα πρὸς τὴν τούτων διοίκησιν. Κόσμου δὲ ἀναχώρησις, οὐχὶ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀποῤῥῆξαι, καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀνίδιον, ἀφιλέταιρον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων, ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις· ἑτοιμασία δὲ καρδίας, ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκαταλαβόντων αὐτὴν διδαγμάτων. Πρό γε πάντων σπουδάζειν προσήκει τὸν φιλόθεον ἄνδρα περὶ τὴν τοῦ λόγου χρῆσιν, μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾶν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα

τὸν προσδιαλεγόμενον, ἐάν τι χρήσιμον λέγῃ· μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς ἐμβαλεῖν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ· μανθάνειν δὲ ἀνεπαισχύντως, καὶ διδάσκειν ἀνεπιφθόνως, καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἀποκρυπτόμενον, ὡς αἱ φαῦλαι τῶν γυναικῶν αἱ τὰ νόθα ὑποβαλλόμεναι, ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. Τόνος δὲ φωνῆς ὁ μέσος προτιμητέος, ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως, προεξετάσαντα ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον, εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν ἐν ταῖς ὁμιλίαις· οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως τὸ προσηνὲς ἔχοντα πανταχοῦ τὸ τραχὺ, κἂν ἐπιτιμῆσαι δέῃ, ἀπωθούμενον. προκαταβαλὼν γὰρ ἑαυτὸν διὰ τα-

πεινοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσται τῷ δεομένῳ τῆς θεραπείας. Πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως, ὃς τῷ Δαβὶδ ἁμαρτόντι οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον τοῦ ἰδίου δικαστὴν ἐκάθισεν ἁμαρτήματος, ὥστε αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἐπιμέμψασθαι τῷ ἐλέγξαντι. ὁλκὸς μὲν γὰρ ὕδατος, δείκνυσι τὴν οἰκείαν πηγήν· λόγου δὲ φύσις τὴν προενεγκοῦσαν αὐτὸν καρδίαν χαρακτηρίζει· Καὶ ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως καὶ κατὰ λόγον γίνηται, μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ' αὐτῶν ὠφέλιμον δείκνυται· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν λάβῃ μαρτυροῦσαν τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου,

καὶ τὴν τῶν φαινομένων τελείωσιν ἀναφαίνεται. Ὁ γὰρ τὸν κείμενον ἀνιστῶν, ὑψηλότερος εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσὼν, ἑτέρου καὶ αὐτὸς τοῦ ἀναστήσοντος ἐπιδέεται· Οἱ δὲ τυφλοῖς διδασκάλοις τὴν ὁδηγίαν ἑαυτῶν ἐπιτρέψαντες, ἐστέρησαν ἑαυτοὺς τῆς τοῦ φωτὸς ἀπολαύσεως. Τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς ἐλέγχειν τὸν ἁμαρτήσαντα ἀδελφὸν, οὐχὶ ἐκεῖνόν ἐστιν ἁμαρτίας ἐλευθερῶσαι, ἀλλ᾽ ἑαυτὸν περιβαλεῖν πλημμελήμασιν. ἐν γὰρ πρᾳότητι δεῖ παιδεύειν τοὺς ἀντιδιατιθεμένους, καὶ μὴ ἐν οἷς μὲν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι, ἐν οἷς δὲ ἄλλοι καταφρονούμενοι ἴδῃ, τὴν πρὸς τὸν ἡμαρτηκότα μακροθυμίαν ἐπιδείκνυσθαι· ἀλλὰ καὶ μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κακῷ τότε. οὕτω γὰρ καὶ τῆς φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν ἀποστρέ-

φεσθαι. τὸ μὲν γὰρ δι' ἑαυτὸν μεριμνᾶν καὶ ἐργάζεσθαι, φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεως ἐγκώμιον. Παντὶ μὲν οὖν τρόπῳ χρὴ τὸν ἀσθενοῦντα θεραπεύειν, καὶ σπουδάζειν τὸ ἐξηρθρωμένον, ἵν' οὕτως εἴπω, μέλος ἐναρθρεῖν· ἐὰν δὲ τῇ οἱαδηποτοῦν κακίᾳ ἐπιμένῃ, ἀφιέναι ὡς ἀλλότριον. γέγραπται γάρ, πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. Ἐὰν γὰρ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς δουλεύειν ἐθέλωσι μᾶλλον ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος. ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σῴζων σῶζε τὴν σεαυτοῦ ψυχήν, καὶ ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινώνει· καὶ εἰ μή τις ἐπιθυμητικῶς ἔρχεται ἐπὶ τὸ ψάλλειν, καὶ εἰ μὴ ἐπιφαίνεται αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος, ὡς γλυκεῖα τῷ

λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι τῷ στόματί μου· καὶ εἰ μὴ ζημίαν μεγάλην ἡγεῖται τὴν ἀργίαν, ἢ διορθωσάσθω, ἢ ἐξαρθήτω, ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολώσῃ. Οὓς γὰρ τὰ κοινὰ ἐπιτίμια οὐ σωφρονίζει, οὔτε τὸ εἰργεσθῆναι τῆς εὐχῆς ἄγει εἰς μετάνοιαν, ἀνάγκη τοῖς παρὰ τοῦ κυρίου δοθεῖσι κανόσιν ὑποβάλλειν. γέγραπται γάρ, ἐὰν ὁ ἀδελφός σου ἁμαρτήσῃ, ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ· ἐὰν σου μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ καὶ ἄλλον· ἐὰν δὲ μηδὲ οὕτως, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ὃ γοῦν ἐγένετο τούτῳ, καὶ ἐπὶ τοῦδε· ἅπαξ ἐνεκλήθη, ἐπὶ ἑνὸς καὶ δευτέρου διηλέγχθη, τρίτον ἐπὶ τῆς ἐκκλησίας· ἐπεὶ οὖν διεμαρτυράμεθα αὐτῷ, καὶ οὐ κατεδέξατο, λοιπὸν ἔστω ἐκκήρυκτος, καὶ διαγγελλέσθω πάσῃ τῇ πόλει, ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοινω-

νίαν χρήσεως βιωτικῆς, ὡς ἐκ τοῦ μὴ συνα-
ναμίγνυσθαι λίμαις αὐτῷ, γίνεται παντε-
λῶς κατάβρωμα τοῦ διαβόλου. Ὥσπερ
γὰρ τῶν παίδων οἱ νήπιοι, καὶ ὀλιγωροῦντες
τῶν μαθημάτων, μετὰ τὰς μάστιγας ἃς διδά-
σκαλοι αὐτοῖς ἢ παιδαγωγοὶ προσάγουσι,
προσεχέστεροι γινόμενοι δέχονται τὰ διδάγ-
ματα· καὶ ὁ αὐτὸς λόγος πρὸ μὲν τῶν πλη-
γῶν οὐκ ἠκούετο, μετὰ δὲ τὰς ἐκ τῶν μα-
στίγων ὀδύνας ἄρτι τῶν ὤτων διανοιγνύ-
των, καὶ παρεδέχθη τῇ ἀκοῇ καὶ παρεδόθη
τῇ μνήμῃ· οὕτω καὶ ἐπὶ τῶν παρακουόντων
τῆς θείας διδασκαλίας καὶ καταφρονητικῶς
πρὸς τὰς ἐντολὰς διακειμένων συμβαίνει·
Ἐπειδὰν ἐπαχθῇ αὐτοῖς παρὰ τοῦ
θεοῦ ἡ παιδεία, τότε δὴ μόλις τὰ ἀεὶ λα-
λούμενα, καὶ ἀεὶ παρακουόμενα τῶν τοῦ θεοῦ
προσταγμάτων, ὡς πρῶτον ἐμπεσόντα
αὐτῶν ταῖς ἀκοαῖς, παρεδέχθη κατὰ τὸν λέ-
γοντα, ὅτι ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ

ὦτα. Ὥσπερ δὲ ἀπαθῶς χρὴ προσάγεσθαι τὰς θεραπείας τοῖς ἀσθενοῦσι κατὰ ψυχὴν, οὕτως πάλιν χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι τὰ ἐπιτίμια, μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας ἐπὶ σωτηρίᾳ ψυχῆς προσαγομένην αὐτῷ ἐπιμέλειαν. αἰσχρὸν γὰρ τοὺς μὲν τὰ σώματα νοσοῦντας, τοσοῦτον τοῖς ἰατροῖς καταπιστεύειν, ὥστε κἂν τέμνωσι, κἂν καίωσι, κἂν πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι· ἡμᾶς δὲ πρὸς τοὺς τῶν ψυχῶν θεραπευτὰς, ὅταν δι' ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζωνται, μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν. Ἐπεὶ οὖν φοβερὸν τὸ κρίμα τῷ προεστῶτι μὴ ἐλέγχοντι τοὺς ἁμαρτάνοντας, τὴν κοινὴν φροντίδα πεπιστευμένῳ, ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου, οὕτω διακείσθω, εἰδὼς ὅτι ἐὰν ἐμπέσῃ εἰς ἁμαρτίαν εἷς τῶν ἀδελφῶν, μὴ προειπόντος αὐτῷ τὸ δικαίωμα τοῦ θεοῦ, ἢ ἐμπε-

σων ἐπιμένῃ μὴ διδαχθεὶς τὸν τρόπον τῆς ἐπανορθώσεως, τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός αὐτοῦ ἐκζητηθήσεται, καθὼς γέγραπται· καὶ μάλιστα, ἐὰν μὴ δι᾽ ἄγνοιάν τι παρίδῃ τῶν ἀρεσκόντων θεῷ, ἀλλὰ διὰ κολακείαν συμπεριφερόμενος τοῖς ἑκάστου κακοῖς, τὴν ἀκρίβειαν τῆς πολιτείας ἐκλύσῃ. Ὥσπερ δὲ ὁ προεστὼς ὑπεύθυνός ἐστιν ἐν ἡγεῖν εἰς πάντα τὴν ἀδελφότητα, οὕτως πάλιν καὶ τοῖς λοιποῖς ἐπιβάλλει, ἐάν ποτε ὑποπτεύσωσι περὶ τὸν προεστῶτα πλημμέλημα, ὑπομιμνήσκειν αὐτὸν τοὺς προέχοντας, ἤγουν ἡλικίαν καὶ τὴν σύνεσιν. ἐὰν μὲν οὖν ᾖ τι ἄξιον διορθώσεως, τόν τε ἀδελφὸν ὠφελήσαμεν, καὶ ἑαυτοὺς δι᾽ ἐκείνου, τὸν οἱονεὶ κανόνα τοῦ ἡμετέρου βίου ὄντα, καὶ τῇ αὐτοῦ ὀρθότητι τὸ ἐνδιάστροφον ἡμῶν διελέγχειν ὀφείλοντα, πρὸς τὸ εὐθὺ καταρτίσαντες· ἐὰν δὲ μάτην τινὲς ταραχθῶσι, πληροφορηθέντες διὰ τῆς φανερώσεως τῶν οὐ μετὰ

ἀληθείας ὑποπτευθέντων, τῆς ἐπ' αὐτῷ διακρίσεως ἀπαλλάσσονται. Οὐ γὰρ ἀγνοεῖτε, ὡς οἱ προεστῶτες δημοσίᾳ πᾶσι προκείμενοι, ὥσπερ οἱ ἐν τῇ θαλάσσῃ προβεβλημένοι σκόπελοι, αὐτοὶ τὸν θυμὸν τῶν ἐναντίων κυμάτων ὑποδέχονται, καὶ περὶ αὐτοὺς ῥηγνύμενα, τὰ κατόπιν αὐτῶν οὐκ ἐπικλύζουσιν. Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἰρημένα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω.

Κἂν γὰρ ἡ τοῦ σώματος ἀσθένεια συμποδίσῃ με, ἣν οὐκ ἀγνοεῖτε πάντες, ὅση μοι πάρεστιν, ἐκ τῆς πρώτης ἡλικίας μέχρι τοῦ γήρως τούτου συντραφεῖσά μοι καὶ παιδεύουσά με, κατὰ τὴν δικαίαν κρίσιν τοῦ πάντα ἐν σοφίᾳ οἰκονομοῦντος θεοῦ. ἀλλ' ἕως ἀναπνέομεν, ὑπεύθυνοί ἐσμεν μηδὲν ἐλλιμπάνειν τῆς εἰς οἰκοδομὴν τῶν καλῶν. Ὑμεῖς δὲ, τελῶν ἀρρωστημάτων μὴ τῷ αἰτίῳ προσοικέναι δόξητε, μηδὲ τῆς γνώμης

νόσον παραπλησίαν τῆς τῶν εἰς τὰ σώματα δυστυχησάντων δείξητε. οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀρρωστημάτων, ἐφ᾽ ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας. οἱ δ᾽ εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσιόντας προσίενται. ὃ μὴ πάθητε νῦν ὑμεῖς, ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες, ἀλλὰ καὶ παιδεύθητε, καὶ στοιχειώθητε τῷ φόβῳ κυρίου τοῦ θεοῦ ἡμῶν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχητε, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ζωοποιῷ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ-
τρὸς ἡμῶν Βασιλείου, λόγ. ς.

ΠΕΡΙ ΑΓΑΠΗΣ ΤΗΣ ΠΡΟΣ ΘΕΟΝ ΚΑΙ ΤΟΝ ΠΛΗΣΙΟΝ.

Τοὺς τῶν βιωτικῶν ἑαυτοὺς ἀποξενοῦντας μεριμνῶν, πάσῃ φυλακῇ τηρεῖν προσήκει τὴν ἑαυτῶν καρδίαν, ὡς μή ποτε τὴν περὶ θεοῦ ἔννοιαν ἐκβάλλειν, ἢ τὴν μνήμην τῶν θαυμασίων αὐτοῦ φαντασίαις τῶν ματαίων καταρρυπαίνειν, ἀλλὰ τὴν διηνεκοῦς καὶ καθαρᾶς μνήμης ἐντετυπωμένην ταῖς ψυχαῖς ἡμῶν ὥσπερ σφραγῖδα ἀνεξάλειπτον, τὴν ὁσίαν τοῦ θεοῦ ἔννοιαν περιφέρειν. οὕτω γὰρ προσγίνεται ἡμῖν ἡ πρὸς θεὸν ἀγάπη, ἅμα τε διεγείρουσα τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ κυρίου, καὶ ὑπ' αὐτῶν πάλιν αὕτη συντηρουμένη πρὸς τὸ

διαρκὲς καὶ ἀδιάπτωτον. Ὁ δὲ σφόδρα τῇ ἐπιθυμίᾳ τοῦ ἀκολουθεῖν τῷ Χριστῷ κατεχόμενος, πρὸς οὐδὲν ἔτι τῆς ζωῆς ταύτης ἐπιστραφῆναι δύναται, οὐ πρὸς γονέων ἢ οἰκείων φίλτρον, ὅταν ἐναντιούμενον ᾖ τοῖς τοῦ κυρίου προστάγμασι. τότε γὰρ καιρὸν ἔχει καὶ τὸ, εἴτις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὰ λοιπά, καθὰ καὶ οἱ ἅγιοι μαθηταὶ τοῦ κυρίου ὑπέδειξαν ἡμῖν, Ἰάκωβος μὲν καὶ Ἰωάννης, καταλιπόντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον, καὶ αὐτὸ τὸ πλοῖον, τὴν πᾶσαν ἀφορμὴν τοῦ βίου· Ματθαῖος δὲ, ἀπ' αὐτοῦ τοῦ τελωνείου ἀναστὰς καὶ ἀκολουθήσας τῷ κυρίῳ, οὐ τὰ κέρδη μόνον τὰ ἐν τῷ τελωνείῳ καταλιπὼν, ἀλλὰ καὶ τῶν κινδύνων ὑπεριδὼν, οἳ ἐπακολουθεῖν ἔμελλον αὐτῷ τε καὶ τοῖς οἰκείοις παρὰ τῆς ἐξουσίας, ἀτελεῖς τοὺς λόγους τοῦ τελωνείου καταλιμπάνοντι· Παύλῳ δὲ καὶ σύμπας κόσμος ἐσταύ-

ρωτο, καὶ αὐτὸς τῷ κόσμῳ. Ὅταν γὰρ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν προκατάσχῃ, ἅπαν αὐτῇ πολέμιον καταγέλαστον εἶδος, κἂν πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου τοξεύωσι, τέρπονται μᾶλλον ἢ πλήττουσιν. Εἰ γὰρ διὰ τὴν πρὸς τοὺς εὐεργέτας εὔνοιαν καὶ τὸ φίλτρον φυσικῶς αἱρούμεθα, καὶ πάντα πόνον εἰς ἀνταπόδοσιν τῶν προσγινομένων ἡμῖν καλῶν ὑπομένομεν, τίς λόγος ἀξίως ἐφικέσθαι τῆς δωρεᾶς τοῦ θεοῦ δύναται· αἳ τοσαῦται μέν εἰσι πλῆθος, ὡς καὶ ἀριθμὸν διαφεύγειν· τηλικαῦται δὲ τὸ μέγεθος καὶ τοιαῦται, ὥστε ἐξαρκεῖν καὶ μίαν ὑπευθύνους ἡμᾶς εἰς πᾶσαν χάριν τῷ δεδωκότι ποιῆσαι· ὁ δὲ οὕτως ἐστὶν ἀγαθὸς, ὥστε οὔτε ἀντίδοσιν ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται μόνον ἀγαπώμενος ἐφ' οἷς ἔδωκεν. Ὧν ἁπάντων ὅταν εἰς ἔννοιαν ἔλθω, ἵνα τὸ ἐμὸν πάθος ἐξείπω, εἰς φρίκην τινὰ καὶ ἔκστασιν φοβερὰν καταπίπτω, μή ποτε ἐξ ἀπροσ-

σεξίας τοῦ νοῦ, ἢ τῆς πρὸς τὰ μάταια ἀσχολίας, τῆς ἀγάπης τοῦ θεοῦ ἐκπεσὼν, ὄνειδος γένωμαι τῷ Χριστῷ. εἰς ὀνειδισμὸν γὰρ προσοίσει τῷ κυρίῳ τὴν ἡμετέραν καταφρόνησιν ὁ διάβολος, καὶ ἐγκαυχήσεται τῇ ἀπειθείᾳ ἡμῶν, ὅς γε οὔτε κτίσας ἡμᾶς, οὔτε ἀποθανὼν ὑπὲρ ἡμῶν, ἀλλ᾽ ὅμως ἔσχεν ἡμᾶς ἀκολουθοῦντας αὐτῷ ἐν τῇ ἀπειθείᾳ, καὶ ἐν τῇ ἀμελείᾳ τῶν ἐντολῶν τοῦ θεοῦ. τοῦτο τὸ ὄνειδος τὸ κατὰ τοῦ κυρίου βαρύτερόν μοι τῶν ἐν τῇ γεέννῃ κολάσεων φαίνεται, τῷ ἐχθρῷ τοῦ Χριστοῦ ὕλην γενέσθαι καυχήματος, καὶ ἀφορμὴν ἐπάρσεως, κατὰ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ἀναστάντος.

Καὶ γὰρ κύριον τὸν θεὸν ἀγαπᾶν δεῖ πάσῃ τῇ ἐνυπαρχούσῃ ἡμῖν πρὸς τὸ ἀγαπᾶν δυνάμει, καὶ ἀγαπᾶν καὶ τὸν πλησίον, καὶ ἀγαπᾶν τοὺς ἐχθροὺς, ἵνα ὦμεν τέλειοι, μιμούμενοι τὴν χρηστότητα τοῦ ἐν οὐρανοῖς πατρὸς, τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ πο

πονηροὺς καὶ ἀγαθούς· εἰς ἄλλα δὲ τὴν τοῦ ἀγαπητοῦ δύναμιν παραναλίσκειν οὐ συγκεχώρηται. Τὸ γὰρ τῆς ἀγάπης καλόν, εἰ μὲν ἐν τῷ ὀνόματι τῆς ἀγάπης περιγράφεται μόνῳ, καταγέλαστόν ἐστι τὸν δεῖνα καὶ τὸν δεῖνα ἐκλελεγμένους, τούτοις μόνοις μεταδιδόναι τοῦ ἀγαπητοῦ, ἑτέρους δὲ μυρίους ἀποκλείειν τῆς πρὸς τὸ καλὸν κοινωνίας· εἰ δὲ ἡ πρὸς τοὺς βλαβεροὺς συμφωνία ἐν ἀγάπης προσχήματι τὰ τῶν πολεμίων τοὺς προσδεχομένους ἐργάζεται, σκοπεῖν ὀφείλομεν οἷς ἑαυτοὺς ἀναμίγνυμεν. Εἰ γὰρ ἀγαπητὸς υἱὸς τοῦ θεοῦ μισεῖται, τί μέγα εἰ ἡμεῖς τοῦ μίσους ἀξιούμεθα παρὰ ἀνθρώποις, οἷς περιουσεύει τὸ κλῆμα τοῦ μίσους. Πλήν, οὔτε οἰκοδομὴν συστῆναι, συνδέσμων ὑφαιρεθέντων δυνατόν· οὔτε ἐκκλησίαν εἰς ὕψος αὐξηθῆναι, μὴ συνδεδεμένην τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης. Καὶ γὰρ οὐδὲν οὕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινω-

νειν ἀλλήλοις, καὶ χρῄζειν ἀλλήλων, καὶ ἀγαπᾶν τὸ ὁμόφυλον. πλέον γὰρ ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα, ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας.

Ὅταν γὰρ πρὸς αὐτὰ ταῦτα ἀπίδω τὰ μέλη κινούμενα, ὅτι ἓν οὐδὲ ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα. οὔτε γὰρ ἂν ποὺς ἀσφαλῶς βαδίσειε, μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου· οὔτε ὀφθαλμὸς ὑγιῶς ἴδοι, μὴ κοινωνὸν ἔχων τὸν ἕτερον, καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς· καὶ ἀκοὴ ἀκριβεστέρα, ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη· καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων· καὶ ἁπαξαπλῶς, οὐδὲν οὔτε τῶν ἐκ φύσεως, οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον, ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα τοὺς συμ-

φωσιοῦντας, ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς. Νουθετείτω σε τῶν νυκτερίδων τὸ φιλάλληλον, αἳ ὥσπερ ὁρμαθὸς ἀλλήλων ἔχονται, καὶ μὴ τὸ ἀπεσχισμένον καὶ ἰδιάζον τοῦ κοινωνικοῦ καὶ ἡνωμένου ἡγοῦ προτιμότερον.

Οὐδὲν γὰρ ἡμᾶς χωρίζει ἀπ' ἀλλήλων, ἐὰν μὴ τῇ προαιρέσει τὸν χωρισμὸν ὑποστῶμεν. εἷς ἡμῶν κύριος, μία πίστις, ἐλπὶς ἡ αὐτή· εἴτε οὖν κεφαλὴν ἑαυτοὺς λογίζεσθε, οὐ δύναται ἡ κεφαλὴ εἰπεῖν τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω· εἴτε καὶ ἐν ἄλλῃ τάξει ἑαυτοὺς τάσσετε, οὐ δύνασθε τοῖς ἐν τῷ αὐτῷ σώματι κατατεταγμένοις λέγειν τό, χρείαν ὑμῶν οὐκ ἔχομεν. Αἵ τε γὰρ χεῖρες ἀλλήλων δέονται, καὶ οἱ πόδες ἀλλήλους στηρίζουσι, καὶ οἱ ὀφθαλμοὶ ἐν τῇ συμφωνίᾳ τὸ ἐναργὲς τῆς καταλήψεως ἔχουσι. μὴ γὰρ ἐκεῖνος ὑμᾶς ὁ λογισμὸς κατεχέτω, ὅτι ἡμεῖς ἔξω τοῦ πάθους ἐσμὲν τῶν πολλῶν, καὶ τίς ἡμῖν χρεία τῆς πρὸς αὐτοὺς κοινωνίας. ὁ γὰρ κύριος

ἡμῶν, τὰς μὲν νήσους τῆς ἠπείρου διὰ θαλάσσης διέστησε, τοὺς δὲ νησιώτας τοῖς ἠπειρώταις διὰ τῆς ἀγάπης συνέδησε. Καὶ τούτῳ μάλιστα φίλος κόλακος διενήνοχε, τῷ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὸν δὲ μηδὲ τῶν λυπούντων ἀπέχεσθαι. Οἶδας δὲ τί ποιήσεις τῷ πλησίον; ὃ σεαυτῷ βούλει παρ' ἑτέρου γενέσθαι. οἶδας ὅτι ποτέ ἐστι τὸ κακόν; ὃ οὐκ ἂν αὐτὸς παθεῖν ἕλοιο παρ' ἑτέρου. Ἐγὼ γὰρ ἀκούσας παρὰ τοῦ θεοῦ, ὅτι ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους, καὶ ὅτι ἐξιτήριον δῶρον τοῖς ἑαυτοῦ μαθηταῖς μέλλων συμπληροῦν τῆς ἐν σαρκὶ οἰκονομίας, τὴν ἑαυτοῦ εἰρήνην κατέλιπεν εἰπών, εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ δύναμαι εἰπεῖν ὅτι ἄνευ τῆς ἐν ἀλλήλοις ἀγάπης, καὶ ἄνευ τοῦ τὸ εἰς ἐμὲ ἧκον εἰρηνεύειν πρὸς πάντας, δύναμαι ἄξιος κληθῆναι δοῦλος Ἰησοῦ Χριστοῦ. Οὕτω

τὴν οὖν προσήκει κοινὴν καὶ ἴσην πᾶσι πρὸς ἀλλήλους τὴν ἀγάπην εἶναι, ὡς φυσικῶς πρὸς τὰ καθ' ἕκαστον ἑαυτοῦ μέλη ὁ ἄνθρωπος ἔχει, ἐπίσης θέλων παντὶ τῷ σώματι τὴν ὑγίειαν, διότι καὶ ὁ πόνος ἑκάστου μέλους, ἴσην παρέχει τῷ σώματι τὴν ἀηδίαν. Ὁ γὰρ ἐν συνοδίᾳ τὸν ἕνα ὑπὲρ τοὺς ἄλλους ἀγαπῶν, κατηγορεῖ ἑαυτοῦ, μὴ ἔχειν τὴν τελείαν ἀγάπην. ὁμοίως οὖν ἀπόβλητός ἐστιν ἀπὸ συνοδίας, ἥ τε ἀπρεπὴς μάχη, καὶ ἡ μερικὴ διάθεσις. ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθρα γίνεται, ἀπὸ δὲ τῆς μερικῆς φιλίας καὶ ἑταιρείας, ὑποψίαι καὶ φθόνοι γίνονται. πανταχοῦ γὰρ ἡ τοῦ ἴσου στέρησις ἀρχὴ καὶ ὑπόθεσις φθόνου καὶ δυσμενείας τοῖς ἐλαττουμένοις γίνεται. Ὥσπερ οὖν ὁ ἀγαθὸς θεὸς κοινὴν δίδωσι πᾶσι τὴν τοῦ φωτὸς μετουσίαν, ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, οὕτως καὶ οἱ μιμηταὶ τοῦ θεοῦ κοινήν τε καὶ ὁμότιμον τὴν τῆς ἀγάπης ἀκτῖνα ἐπὶ πάν-

τὰς φερέτωσαν. ὅπου γὰρ ἐλλείπει ἡ ἀγάπη, ἐκεῖ πάντως ἀντεισέρχεται τὸ μῖσος· εἰ δὲ, καθώς φησιν Ἰωάννης, ὁ θεὸς ἀγάπη ἐστὶν, ἀνάγκη πᾶσα τὸ μῖσος εἶναι τὸν διάβολον.

Ὥσπερ οὖν ὁ τὴν ἀγάπην ἔχων, τὸν θεὸν ἔχει· οὕτως ὁ τὸ μῖσος ἔχων, τὸν διάβολον ἐν ἑαυτῷ τρέφει. διὰ τοῦτο προσήκει, τὴν μὲν ἀγάπην ἴσην καὶ ὁμοίαν παρὰ πάντων τοῖς πᾶσιν εἶναι, τὴν δὲ τιμὴν κατὰ τὸ πρέπον ἑκάστῳ γίνεσθαι. Καὶ ὥσπερ ἐν ἡμῖν αὐτοῖς, ὁ μὲν πόνος ἑκάστου τῶν ἀρρωστούντων μελῶν, ἴσος ἅπτεται τοῦ παντὸς σώματος, ἔστι δὲ ὅμως ἕτερα ἑτέρων τιμιώτερα μέλη· οὐ γὰρ ὁμοίως περὶ τὸν τοῦ ποδὸς δάκτυλον ἔχομεν, κἂν ὁ πόνος τὸ ἴσον ἔχῃ· οὕτως τὴν μὲν συμπαθῆ διάθεσιν καὶ τὴν ἀγαπητικὴν σχέσιν, ἴσην ἐπὶ πάντων τῶν ἐν τῇ συνοδίᾳ ζώντων εἶναι παρ' ἑκάστου προσήκει· ἡ δὲ τιμὴ κατὰ τὸ εὔλογον ἐπὶ τῶν χρησιμωτέρων τὸ πλέον ἕξει. Ἐπὶ γὰρ τῶν

πνευματικῶν ἀλλήλοις συναρμοζομένων οὐδὲ ἡ σωματικὴ συγγένεια πλέον τι κατὰ τὴν ἀγάπην ἕξει· οὐδὲ εἴ τις ἀδελφός τινος κατὰ σάρκα εἴη, ἢ υἱὸς, ἢ θυγάτηρ, ἐν πλείονι διαθέσει πρὸς τὸν ἐκ τοῦ γένους προσήκοντα παρὰ τοὺς ἄλλους γενήσεται ἡ κοινωνία τοῦ αἵματος.

Ὁ γὰρ ἐν τούτοις τῇ φύσει ἀκολουθῶν κατηγορεῖ ἑαυτοῦ, ὅτι οὔπω τελείως ἀπέστη τῆς φύσεως, ἀλλ' ἔτι ὑπὸ σαρκὸς διοικεῖται. τῷ δὲ θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΚ ΤΩΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. δ.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.



Ι θαυμάζεις τὰ χρήματα δῆθεν ὥσπερ διὰ τὴν ἀπ' αὐτῶν τιμὴν, σκόπει πόσον ἐστὶ πρὸς δόξαν λυσιτελέστερον, μυ

είων παίδων πατέρα προσαγορεύεσθαι, ἢ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. Τὰ μὲν γὰρ χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βουλόμενος, τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν δεσπότην, ὅταν δῆμος ὅλος ἐπὶ τοῦ κοινοῦ κριτοῦ περιστάντες, τροφέα καὶ εὐεργέτην καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Καὶ ἐν μὲν πανηγύρει οὐδεὶς λυπεῖται προϊέμενος τὰ παρόντα, καὶ ἀντικτώμενος τὰ ἐνδέοντα, ἀλλ᾽ ὅσῳπερ ἂν ἐλάττονος τιμῆς τὰ πολύτιμα ὠνῆται, τοσούτῳ χαίρει, ὡς λαμπροῦ αὐτῷ τοῦ συναλλάγματος γενομένου· σὺ δὲ λυπῇ χρυσίον καὶ ἀργύριον καὶ κτήματα διδούς, τουτέστι λίθους καὶ χοῦν προϊέμενος, ἵνα κτήσῃ τὴν μακαρίαν ζωήν; τί δὲ καὶ χρήσῃ τῷ πλούτῳ· ἐσθῆτι πολυτιμήτῳ περιβαλεῖς σεαυτόν; οὐχ οὖν δύο μέν σοι πηχῶν χιτωνίσκος ἀρκέσει; ἑνὸς δὲ ἱματίου περιβολή,

πᾶσαν τὴν ἐνδυμάτων ἐκπληρώσει τὴν
χρείαν· ἀλλ' ἢ εἰς τροφὴν καταχρήσῃ τῷ πλού-
τῳ; εἷς ἄρτος ἱκανὸς ἀποπληρῶσαι γαστέ-
ρα. τί οὖν λυπῇ, ὡς τινὸς ὑστερούμενος. δό-
ξης τῆς ἀπὸ τοῦ πλούτου; ἀλλ' ἐὰν μὴ χα-
μαὶ ζητήσῃς τὴν δόξαν, εὑρήσεις τὴν ἀλη-
θινὴν καὶ λαμπρὰν περιάγουσάν σε ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν. Σκορπιζόμενος
γὰρ ὁ πλοῦτος, καθ' ὃν ὁ κύριος ὑποτίθε-
ται τρόπον, πέφυκε παραμένειν· συνεχόμε-
νος δὲ, ἀλλοτριοῦσθαι. ἐὰν φυλάσσῃς, οὐκ
ἕξεις· ἐὰν σκορπίσῃς, οὐκ ἀπολέσεις· ἐσκόρ-
πισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ
μένει εἰς τὸν αἰῶνα. Ὥστε οἰκονομικὴν τοῦ
πλούτου τὴν χρῆσιν, ἀλλ' οὐκ ἀπολαυστι-
κὴν τοὺς σωφρόνως λογιζομένους νομίζειν
προσήκε, καὶ ἀποτιθεμένους χαίρειν, ὡς ἀλ-
λοτρίων χωριζομένους, ἀλλ' οὐχὶ δυσχε-
ραίνειν ὡς τῶν οἰκείων ἐκπίπτοντας. Τί οὖν
λυπῇ· τί καταπενθεῖς τῇ ψυχῇ, ἀκούων, πώ-

λησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. εἰ μὲν γὰρ ἠκολούθει σοι πρὸς τὸ μέλλον, οὐδ' οὕτως ἂν ἦν περισπούδαστα, ὑπὸ τῆς ἐκεῖ ζημίων ἐπισκοτούμενα· εἰ δὲ ἀνάγκη μένειν ἐνταῦθα, τί μὴ πωλήσαντες τὸ ἀπ' αὐτῶν κέρδος ἀπενεγκώμεθα. Ο μὲν γὰρ κακῶς τοῖς οὖσι κεχρημένος, ἐλεεινός, ὡς ὁ τῷ ξίφει ὃ ἔλαβε πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τούτῳ ἑκουσίως ἑαυτὸν κατατιτρώσκων· ὁ δὲ καλῶς, καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ προσόντα μεταχειρίζων, καὶ οἰκονόμος τῶν παρὰ τοῦ θεοῦ δεδομένων γινόμενος, μὴ οὐχὶ πρὸς ἰδίαν ἀπόλαυσιν θησαυρίζων, ἐπαινετὸς καὶ ἀγαπᾶσθαι δίκαιός ἐστι, διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου. Ορᾶτε ὡς τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τὰς ὥρας τῶν οἰκείων ἐξήγαγε φύσεων, καὶ τῶν καιρῶν τὰς ἰδέας εἰς ἀλλοκότους κράσεις διήμειψε; πάντα γὰρ κοινῶς ὑπερβάντα τοὺς ὅρους τῆς κλίσεως, καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμ-

φωνήσαντα βλάβην, τοῦ βίου καὶ τῆς ζωῆς
τοὺς ἀνθρώπους ἐλαύνουσι. Τίς οὖν τῆς
ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία· ὅτι λαμ-
βάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν· τὴν
εὐεργεσίαν ἐπαινοῦμεν, καὶ ταύτης ἀποστε-
ροῦμεν τοὺς δεομένους· δοῦλοι ὄντες ἐλευθε-
ρούμεθα, καὶ ὁμοδούλους οὐκ οἰκτείρομεν·
πεινῶντες τρεφόμεθα, καὶ τὸν ἐνδεῆ παρα-
τρέχομεν· ἀενδεῆ χορηγὸν καὶ ταμεῖον ἔχον-
τες, φειδωλοὶ γινόμεθα καὶ ἀκοινώνητοι
πρὸς τοὺς πένητας. πολυτόκα ἡμῖν τὰ
πρόβατα, καὶ οἱ γυμνοὶ τῶν προβάτων
πλείους· αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀπο-
κειμένων στενοῦνται, καὶ τὸν ἐστενωμένον οὐκ
ἐλεοῦμεν. Πένης εἶ; ἀλλ' ἄλλον ἔχεις πάν-
τως πενέστερον. σοὶ δέκα ἡμερῶν τὰ σιτία,
ἐκείνῳ μιᾶς· ὡς καλῶς δύναμαι, τὸ σὸν πε-
ριττὸν ἐπανιάσωσον πρὸς τὸ ἐνδεῆ. μὴ ὀκνή-
σῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προτιμήσῃς
τὸ σὸν συμφέρον ἐκ τοῦ κοινοῦ κινδύνου.

Κἂν εἰς ἕνα ἄρτον περιστῇ ἡ τροφὴ, ἐπιστῇ δὲ ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα, καὶ ἐπιθεὶς ταῖς χερσὶ, πρὸς οὐρανὸν ἀνατείνας, εἰπὲ λόγον ἐλεεινὸν ὁμοῦ καὶ εὐγνώμονα, εἷς ἄρτος ὃν ὁρᾷς κύριε, καὶ ὁ κίνδυνος περιφανής· ἀλλ' ἐγὼ τὴν σὴν ἐντολὴν ἐμοῦ προτίθημι, καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ· δὸς δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ. Οἶδά σου τὴν ἀγαθότητα, θαῤῥῶ καὶ τῇ δυνάμει· οὐχ ὑπερτίθεσαι εἰς χρόνον τὰς χάριτας, ἀλλὰ σκεδαννύεις, ὅταν ἐθέλῃς τὰς δωρεάς· κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς ςενώσεως ἄρτον, σπέρμα γίνεται γεωργίας, καὶ πολύχουν ἀπογεννᾷ τὸν καρπόν. Σὺ δὲ λέγεις μὲν ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, ὃ δὲ παρὰ τοῦ κυρίου λεχθὲν, ἐλέγχει σε τῆς ἀληθινῆς ἀγάπης ἀπολειπόμενον. εἰ γὰρ τοσοῦτον ἀπέδωκας ἑκάςῳ, ὅσον καὶ σεαυτῷ, πόθεν σοι ἡ τῶν χρη-

μάτ

μετὰ τοσαύτη περιουσία. ὁ γὰρ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν, οὐδὲν περιοσότερον κέκτηται τοῦ πλησίον· ἐπεὶ δὲ κέκτησαι σὺ, φαίνῃ δηλονότι τὴν οἰκείαν ἀπόλαυσιν προτιμοτέραν τῆς τῶν πολλῶν παραμυθίας ποιούμενος. ὅσον γὰρ πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐλλείπεις τῇ ἀγάπῃ. Εἰ γὰρ ἠγαπήκεις σου τὸν πλησίον, πάλαι ἂν ἐμελέτησας τῶν χρημάτων τὴν ἀπαλλοτρίωσιν· νυνὶ δὲ προσπέφυκέ σοι τὰ χρήματα πλέον ἢ τὰ μέλη τοῦ σώματος, καὶ λυπεῖ σε αὐτῶν ὁ χωρισμὸς, ὡς ἀκρωτηριασμὸς τῶν καιρίων. Εἰ γὰρ ἠμφίασας γυμνὸν, εἰ ἔδωκας πεινῶντι τὸν ἄρτον σου, εἰ ἡ θύρα σου ἀνέῳκτο παντὶ ξένῳ, εἰ ἐγένου πατὴρ ὀρφανῶν, εἰ παντὶ συνέπασχες ἀδυνάτῳ, ὑπὲρ ποίων ἂν ἐλυπήθης χρημάτων, πάλαι μελετήσας αὐτὰ διανέμειν τοῖς ἐνδεέσιν. Ὦ πόσην ἔδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ, καὶ φαιδρὸν εἶναι καὶ λαμπρυνόμε-

σθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διέχλεις θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι. Συμμεριστὰς ποίησαι τῶν σιτίων τοὺς ἀδελφούς. ὃ αὔριον σηπόμενον, σήμερον παράσχου τῷ δεομένῳ· πλεονεξίας εἶδος τὸ χαλεπώτερον, μηδὲ τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν. Εἰ ὁ τὸν ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται, ὁ τὸν γυμνὸν μὴ ἐνδύων δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινὸς ἐστὶ προσηγορίας ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος ὃν σὺ κατέχεις, τοῦ γυμνητεύοντος τὸ ἱμάτιον ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις, τοῦ ἀνυποδέτου τὸ ὑπόδημα ὃ παρὰ σοὶ κατασήπεται, τοῦ χρῄζοντος τὸ ἀργύριον ὃ κατορύξας ἔχεις· ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος, ἵνα γνῷς, ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις. ὦ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆ-

μα ἐκεῖνο, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ποταπὴ δέ σοι φρίκη, καὶ ἱδρὼς, καὶ σκότος περιχυθήσεται ἀκούοντι τῆς καταδίκης, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Οὔτε γὰρ ἡ ἐλεημοσύνη ἄκριτος παρὰ θεῷ, οὔτε ἡ κρίσις ἀνελεήμων. περὶ μὲν γὰρ τῆς κρίσεως ἀγαπᾷ ἐλεημοσύνην, καὶ μετὰ τὴν ἐλεημοσύνην ἔρχεται ἐπὶ τὴν κρίσιν. ταῦτα δὲ ἀλλήλοις συνέζευκται, ὁ ἔλεος μετὰ τῆς κρίσεως, ἵνα μήτε ὁ ἔλεος μόνος ῥᾳθυμότητα ἐμποιήσῃ, μήτε μόνη ἡ κρίσις ἀπόγνωσιν ἐνεργάσηται. Εἰ οὐκ ἐφόνευσας, οὔτε ἐμοίχευσας, οὔτε ἔκλεψας, οὔτε κατεμαρτύρησάς τινος μαρτυρίαν ψευδῆ, ἀνόνητον σεαυτῷ ποιεῖς τὴν περὶ ταῦτα σπουδὴν, μὴ προσθεὶς τὸ λοιπὸν, δι' οὗ μόνου δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν

τοῦ θεοῦ. Καὶ εἰ μὲν ἰατρὸς ἐπηγγέλετο κολο-
βώματα μέν σοι ἐκ φύσεως, ἢ ἐξ ἀρρωστίας
προσόντα σοι διορθώσασθαι, οὐκ ἂν ἠθύμεις
ἀκούων· ἐπεὶ δὲ ὁ μέγας τῶν ψυχῶν ἰατρὸς τέ-
λειόν σε διὰ τῆς ἐλεημοσύνης ποιῆσαι βούλε-
ται τοῖς κυριωτάτοις ἐλλείποντα, οὐ δέχῃ τὴν χά-
ριν, ἀλλὰ πενθεῖς καὶ σκυθρωπάζεις ὀδυνώ-
μενος τὴν ψυχήν, καὶ ποιεῖς σεαυτῷ ἄχρηστα
πάντα ὅσα σοι προπεπόνηται; Οὐ φιλοπο-
νήσεις περὶ σεαυτοῦ; οὐκ ἐν τῷ παρόντι αἰῶνι
προαποθήσεις τὰς τοῦ μέλλοντος ἀναπαύσεις,
πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀπο-
βλέψας; ὃς ἐν θέρει τὴν χειμέριον τροφὴν
ἑαυτῷ θησαυρίζει, καὶ οὐχ ὅτι μήπω πάρεστι
τὰ τοῦ χειμῶνος λυπηρά, διὰ ῥαθυμίας πα-
ραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινὶ ἀ-
παραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κα-
τατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπό-
θηται τοῖς ταμείοις· καὶ οὐδὲ τοῦτο ῥαθύμως,
ἀλλὰ σοφῇ τινὶ ἐπινοίᾳ τὴν τροφὴν ἐπὶ

πλεῖστον διαρκεῖν μηχανώμενος. διακόπτει
γὰρ ταῖς ἑαυτοῦ χηλαῖς, τῶν καρπῶν τὸ με-
σαίτατον, ὡς ἂν μὴ ἐκφυέντες ἄχρηστοι
πρὸς τὴν τροφὴν αὐτῷ γένοιντο. καὶ διαψύχει
τούτους, ὅταν αἴσθηται αὐτῶν διαβρόχων.
καὶ οὐκ ἐν παντὶ προβάλλει καιρῷ, ἀλλ' ὅ-
ταν προαίσθηται τοῦ ἀέρος ἐν εὐδιῇ κα-
ταστάσει φυλαττομένου. ἀμέλει οὐκ ἂν ἴδοις
ὄμβρον ἐκ νεφῶν ἐπιῤῥυέντα, παρ' ὅσον
χρόνον ἐκ τῶν μυρμήκων ὁ σῖτος προβέ-
βληται. Μίμησαι τὴν γῆν ἄνθρωπε, καρ-
ποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς
ἀψύχου. ἐκείνη μὲν γὰρ τοὺς καρποὺς οὐκ εἰς
ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρε-
σίαν ἐξέθρεψε. σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐ-
ποιΐας καρπὸν, σεαυτῷ τοῦτον συνάγεις, διότι
τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς δι-
δόντας ἐπαναστρέφουσιν. ἔδωκας τῷ πει-
νῶντι, καὶ σὸν γίνεται ὃ δοθὲν μετὰ προσθή-
κης ἐπανελθόν. ὥσπερ γὰρ ὁ σῖτος εἰς τὴν γῆν

πεσὼν, κέρδος τῷ προϊεμένῳ γίνεται, οὕτως ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθεὶς, πολύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν. Ἐὰν παραστῇ τῇ θύρᾳ σου ὁ τὴν χρείαν αὐτοῦ ἐπανορθωθῆναι ζητῶν, μὴ ἀνώμαλος ᾖς, μὴ εἴπῃς, οὗτος φίλος, οὗτος συγγενὴς, οὗτος εὐεργέτης· ἐκεῖνος ξένος, ἀλλότριος, ἄγνωστος· ἀνώμαλα βλέπων, οὐκ ἐλεηθήσῃ. φύσις μία, ἄνθρωπος καὶ οὗτος κἀκεῖνος. χρεία μία, ἔνδεια ἐν ἀμφοτέροις ἡ αὐτή· δὸς τῷ ἀδελφῷ, καὶ τῷ ξένῳ, μήτε τὸν ἀδελφὸν ἀποστραφῇς, καὶ τὸν ξένον ἀδελφὸν οἰκεῖον ποίησαι· βούλεταί σε παραμυθητικὸν εἶναι τῶν δεομένων, οὐ προσωποληπτικὴν· οὐ τῷ συγγενεῖ διδόντα, τὸν δὲ ξένον ἀπωθούμενον. πάντες γὰρ συγγενεῖς, πάντες ἀδελφοὶ, πάντες ἑνὸς πατρὸς ἔκγονοι. Εἰσί τινες οἳ ἐξ ἐπικρατείας κινδύνου τινὸς ἀναρπασθέντες ὑπὸ τοῦ κλύδωνος, καὶ μηδεμίαν ἔχοντες περιλελειμμένην αὐτοῖς βίου λοι-

τὴν ἀφορμήν, ἀλλὰ μόνῃ τῇ ψυχῇ καὶ τῷ σώματι διαφυγόντες αὐτόν. ἡμεῖς τοίνυν, ὅσοι τῆς τῶν δυσχερῶν ἄγευστοι πείρας ἐμείναμεν, κοινὴν ἐκείνοις προθῶμεν τὴν εὐποιΐαν ἑαυτῶν, ἐναγκαλισώμεθα τοὺς περισωθέντας μόλις τῶν ἀδελφῶν. εἴπωμεν πρὸς ἕκαστον ἕκαστος, νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη. καὶ τὸ συγγενὲς σῶμα σκεπάσωμεν· ἀντιστήσωμεν ταῖς τοῦ δυσμενοῦς ἐπηρείαις τὴν ἡμετέραν παράκλησιν, ἵνα καὶ βλάπτων ἐκεῖνος μηδὲν μέγα βλάψαι δοκῇ· καὶ πολεμήσας, μηδένα δείξῃ νενικημένον· καὶ περιελὼν τὴν εὐποιΐαν τῶν ἀδελφῶν, ὑπὸ τῆς ἡμετέρας φιλοτιμίας φανείη νικώμενος. Διὰ μὲν γὰρ τὴν ἀγάπην, ἐν ἁπλότητι τὸ αἰτούμενον ἐστὶ πρὸς τοὺς αἰτοῦντας τὸν μεταδοτικὸν δεῖ, κατὰ τὸ φάσκον παράγγελμα, τῷ αἰτοῦντί σε δός· λογισμῷ δὲ πάλιν διακρίνειν ἑκάστου τὴν χρείαν τῶν προσαιτούντων, καθὼς

τὰς φερέτωσαν. ὅπου γὰρ ἐλλείπει ἡ ἀγάπη, ἐκεῖ πάντως ἀντεισέρχεται τὸ μῖσος· εἰ δὲ, καθὼς φησὶν Ἰωάννης, ὁ θεὸς ἀγάπη ἐστὶν, ἀνάγκη πᾶσα τὸ μῖσος εἶναι τὸν διάβολον.


Ὥσπερ οὖν ὁ τὴν ἀγάπην ἔχων, τὸν θεὸν ἔχει· οὕτως ὁ τὸ μῖσος ἔχων, τὸν διάβολον ἐν ἑαυτῷ τρέφει. διὰ τοῦτο προσήκει, τὴν μὲν ἀγάπην ἴσην καὶ ὁμοίαν παρὰ πάντων τοῖς πᾶσιν εἶναι, τὴν δὲ τιμὴν κατὰ τὸ πρέπον ἑκάστῳ γίνεσθαι. Καὶ ὥσπερ ἐν ἡμῖν αὐτοῖς, ὁ μὲν πόνος ἑκάστου τῶν ἀρρωστούντων μελῶν, ἴσος ἅπτεται τοῦ παντὸς σώματος, ἔστι δὲ ὅμως ἕτερα ἑτέρων τιμιώτερα μέλη· οὐ γὰρ ὁμοίως περὶ τὸν τοῦ ποδὸς δάκτυλον ἔχομεν, κἂν ὁ πόνος τὸ ἴσον ἔχῃ· οὕτως τὴν μὲν συμπαθῆ διάθεσιν καὶ τὴν ἀγαπητικὴν σχέσιν, ἴσην ἐπὶ πάντων τῶν ἐν τῇ συνοδίᾳ ζώντων εἶναι παρ' ἑκάστου προσήκει· ἡ δὲ τιμὴ κατὰ τὸ εὔλογον ἐπὶ τῶν χρησιμωτέρων τὸ πλέον ἔχει. Ἐπὶ γὰρ τῶν

πνευματικῶν ἀλλήλοις συναρμοζομένων οὐδὲ ἡ σωματικὴ συγγένεια πλέον τι κατὰ τὴν ἀγάπην ἕξει· οὐδὲ εἴ τις ἀδελφός τινος κατὰ σάρκα εἴη, ἢ υἱὸς, ἢ θυγάτηρ, ἐν πλείονι διαθέσει πρὸς τὸν κατὰ ψυχὴν προσήκοντα παρὰ τοὺς ἄλλους χρήσεται ἡ κοινωνία τοῦ αἵματος.

Ὁ γὰρ ἐν τούτοις τῇ φύσει ἀκολουθῶν κατηγορεῖ ἑαυτοῦ, ὅτι οὔπω τελείως ἀπέστη τῆς φύσεως, ἀλλ' ἔτι ὑπὸ σαρκὸς διοικεῖται. τῷ δὲ θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΚ ΤΩΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. η.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.



Εἰ θαυμάζεις τὰ χρήματα διὰ τὴν ἀπ' αὐτῶν τιμὴν, σκόπει πόσον ἐστὶ πρὸς δόξαν λυσιτελέστερον, μυ

είων παίδων πατέρα προσαγορεύεσθαι, ἢ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. τὰ μὲν γὰρ χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βουλόμενος, τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν δεσπότην, ὅταν δῆμος ὅλος ἐπὶ τοῦ κοινοῦ κριτοῦ περιστάντες, τροφέα καὶ εὐεργέτην καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Καὶ ἐν μὲν πανηγύρει οὐδεὶς λυπεῖται προϊέμενος τὰ παρόντα, καὶ ἀντικτώμενος τὰ ἐνδέοντα, ἀλλ' ὅσῳ περ ἂν ἐλάττονος τιμῆς τὰ πολύτιμα πρίηται, τοσούτῳ χαίρει, ὡς λαμπρῷ περ αὐτῷ τοῦ συναλλάγματος γινομένου· σὺ δὲ λυπῇ χρυσίον καὶ ἀργύριον καὶ κτήματα διδούς, τουτέστι λίθους καὶ χοῦν προϊέμενος, ἵνα κτήσῃ τὴν μακαρίαν ζωήν; τί δὲ καὶ χρήσῃ τῷ πλούτῳ· ἐσθῆτι πολυτιμήτῳ περιβαλεῖς σεαυτόν; οὐκοῦν δύο μέν σοι πηχῶν χιτωνίσκος ἀρκέσει; ἑνὸς δὲ ἱματίου περιβολή,

πᾶσαν τὴν ἐνδυμενίαν ἐκπληρῶσαι τὴν
χρείαν δύνῃ; εἰς τροφὴν καταχρήσῃ τῷ πλού-
τῳ; εἷς ἄρτος ἱκανὸς ἀποπληρῶσαι γαστέ-
ρα. τί οὖν λυπῇ, ὡς τινὸς ὑστερούμενος. δό-
ξης τῆς ἀπὸ τοῦ πλούτου; ἀλλ' ἐὰν μὴ χα-
μαὶ ζητήσῃς τὴν δόξαν, εὑρήσεις τὴν ἀλη-
θινὴν καὶ λαμπρὰν περιάγουσάν σε ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν. Σκορπιζόμενος
γὰρ ὁ πλοῦτος, καθ' ὃν ὁ κύριος ὑποτίθε-
ται τρόπον, πέφυκε παραμένειν· συνεχόμε-
νος δέ, ἀλλοτριοῦσθαι. ἐὰν φυλάξῃς, οὐκ
ἕξεις· ἐὰν σκορπίσῃς, οὐκ ἀπολέσεις· ἐσκόρ-
πισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ
μένει εἰς τὸν αἰῶνα. Ὥστε οἰκονομικὴν τοῦ
πλούτου τὴν χρῆσιν, ἀλλ' οὐκ ἀπολαυστι-
κὴν τοὺς σωφρόνως λογιζομένους νομίζειν
προσῆκε, καὶ ἀποτιθεμένους χαίρειν, ὡς ἀλ-
λοτρίων χωριζομένους, ἀλλ' οὐχὶ δυσχε-
ραίνειν ὡς τῶν οἰκείων ἐκπίπτοντας. Τί οὖν
λυπῇ· τί καταπενθεῖς τῇ ψυχῇ, ἀκούων, πώ-

λησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. εἰ μὲν γὰρ ἠκολούθει σοι πρὸς τὸ μέλλον, οὐδ' οὕτως ἂν ἦν περισπούδαστα, ὑπὸ τῶν ἐκεῖ τιμίων ἐπισκοτούμενα· εἰ δὲ ἀνάγκη μένειν ἐνταῦθα, τί μὴ πωλήσαντες τὸ ἀπ' αὐτῶν κέρδος ἀπενεγκώμεθα. Ὁ μὲν γὰρ κακῶς τοῖς οὖσι κεχρημένος, ἐλεεινός, ὡς ὁ τῷ ξίφει ὃ ἔλαβε πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τούτῳ ἑκουσίως ἑαυτὸν καταπιτρώσκων· ὁ δὲ καλῶς, καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ προσόντα μεταχειρίζων, καὶ οἰκονόμος τῶν παρὰ τοῦ θεοῦ δεδομένων γινόμενος, μὴ οὐχὶ πρὸς ἰδίαν ἀπόλαυσιν θησαυρίζων, ἐπαινεῖσθαι καὶ ἀγαπᾶσθαι δίκαιός ἐστι, διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου. Ὁρᾶτε ὡς τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τὰς ὥρας τῶν οἰκείων ἐξήγαγε φύσεων, καὶ τῶν καιρῶν τὰς ἰδέας εἰς ἀλλοκότους κράσεις διήμειψε; πάντα γὰρ κοινῶς ὑπερβάντα τοὺς ὅρους τῆς κλίσεως, καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμ-

φωνήσαντα βλαβὴν, τοῦ βίου καὶ τῆς ζωῆς τοὺς ἀνθρώπους ἐλαύνουσι. Τίς οὖν τῆς ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία; ὅτι λαμβάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν· τὴν εὐεργεσίαν ἐπαινοῦμεν, καὶ ταύτης ἀποστεροῦμεν τοὺς δεομένους· δοῦλοι ὄντες ἐλεύθεροι εἴμεθα, καὶ ὁμοδούλους οὐκ οἰκτείρομεν· πεινῶντες τρεφόμεθα, καὶ τὸν ἐνδεῆ παρατρέχομεν· ἀνενδεῆ χορηγὸν καὶ ταμεῖον ἔχοντες, φειδωλοὶ γινόμεθα καὶ ἀκοινώνητοι πρὸς τοὺς πένητας· πολυτόκα ἡμῶν τὰ πρόβατα, καὶ οἱ γυμνοὶ τῶν προβάτων πλείους· αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀποκειμένων στενοῦνται, καὶ τὸν στενούμενον οὐκ ἐλεοῦμεν. Πένης εἶ; δὴ ἄλλον ἔχεις πάντως πενέστερον. σοὶ δέκα ἡμερῶν τὰ σιτία, ἐκείνῳ μιᾶς· ὡς καλῶς εὐγνώμων, τὸ σὸν περιττὸν ἐπανισάσωσον πρὸς τὴν ἔνδειαν· μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προτιμήσῃς τὸ σὸν συμφέρον ἐκ τοῦ κοινοῦ κινδύνου.

μετὰ τοσαύτη περιουσία. ὁ γὰρ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτόν, οὐδὲν περιττότερον κέκτηται τοῦ πλησίον· ἐπεὶ δὲ κέκτησαι σύ, φαίνῃ δηλονότι τὴν οἰκείαν ἀπόλαυσιν προτιμοτέραν τῆς τῶν πολλῶν παραμυθίας ποιούμενος. ὅσον γὰρ πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐλλείπεις τῇ ἀγάπῃ. Εἰ γὰρ ἠγαπήκεις σου τὸν πλησίον, πάλαι ἂν ἐμελέτησας τὴν χρημάτων τὴν ἀλλοτρίωσιν· νυνὶ δὲ προσπέφυκέ σοι τὰ χρήματα πλέον ἢ τὰ μέλη τοῦ σώματος, καὶ λυπεῖ σε αὐτῶν ὁ χωρισμὸς, ὡς ἀκρωτηριασμὸς τῶν χειρῶν. Εἰ γὰρ ἠμφίασας γυμνόν, εἰ ἔδωκας πεινῶντι τὸν ἄρτον σου, εἰ ἡ θύρα σου ἀνέῳκτο παντὶ ξένῳ, εἰ ἐγένου πατὴρ ὀρφανῶν, εἰ παντὶ συνέπασχες ἀδυνάτῳ, ὑπὲρ ποίων ἂν ἐλυπήθης χρημάτων, πάλαι μελετήσας αὐτὰ διανέμειν τοῖς ἐνδεέσιν. Ὢ πόσην ἔδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ, καὶ φαιδρὸν εἶναι καὶ λαμπρυνέ-

σθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διέχεις θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι. Συμμερίστας ποίησαι τὴν σιτίων τοὺς ἀδελφούς. ὃ αὔριον σηπόμενον, σήμερον παράσχου τῷ δεομένῳ· πλεονεξίας εἶδος ὃ χαλεπώτερον, μηδὲ τὴν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν. Εἰ ὁ τὸν ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται, ὁ τὸν γυμνὸν μὴ ἐνδύων δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι προσηγορίας ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος ὃν σὺ κατέχεις, τοῦ γυμνητεύοντος ὃ ἱμάτιον ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις, τοῦ ἀνυποδέτου ὃ ὑπόδημα ὃ παρὰ σοὶ κατασήπεται, τοῦ χρήζοντος ὃ ἀργύριον ὃ κατορύξας ἔχεις· ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος, ἵνα γνῷς, ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις. ὢ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὃ ῥῆ-

μα ἐκεῖνο, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ποταπὴ δέ σοι φρίκη, καὶ ἱδρὼς, καὶ σκότος περιχυθήσεται ἀκούοντι τῆς καταδίκης, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Οὔτε γὰρ ἡ ἐλεημοσύνη ἄκριτος παρὰ θεῷ, οὔτε ἡ κρίσις ἀνελεήμων. πρὸ μὲν γὰρ τῆς κρίσεως ἀγαπᾷ ἐλεημοσύνην, καὶ μετὰ τὴν ἐλεημοσύνην ἔρχεται ἐπὶ τὴν κρίσιν. ταῦτα δὲ ἀλλήλοις συνέζευκται, ὁ ἔλεος μετὰ τῆς κρίσεως, ἵνα μήτε ὁ ἔλεος μόνος χαυνότητα ἐμποιήσῃ, μήτε μόνη ἡ κρίσις ἀπόγνωσιν ἐνεργάσηται. Εἰ οὐκ ἐφόνευσας, οὔτε ἐμοίχευσας, οὔτε ἔκλεψας, οὔτε κατεμαρτύρησάς τινος μαρτυρίαν ψευδῆ, ἀνόνητον σεαυτῷ ποιεῖς τὴν περὶ ταῦτα σπουδὴν, μὴ προσθεὶς τὸ λοιπὸν, δι' οὗ μόνου δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν

τοῦ θεοῦ. Καὶ εἰ μὲν ἰατρὸς ἐπηγγέλετο κολοβώματα μὲν ἐκ φύσεως, ἢ ἐξ ἀῤῥωστίας προσόντα σοι διορθώσασθαι, οὐκ ἂν ἠθύμεις ἀκούων· ἐπεὶ δὲ ὁ μέγας τῶν ψυχῶν ἰατρὸς τέλειόν σε διὰ τῆς ἐλεημοσύνης ποιῆσαι βούλεται τοῖς χρειωτάτοις ἐλλείποντα, οὐ δέχῃ τὴν χάριν, ἀλλὰ πενθεῖς καὶ σκυθρωπάζεις ὀδυνώμενος τὴν ψυχὴν, καὶ ποιεῖς σεαυτῷ ἄχρηστα πάντα ὅσα σοι προπεπόνηται; Οὐ φιλοπονήσεις περὶ σεαυτοῦ; οὐκ ἐν τῷ παρόντι αἰῶνι περιαποιήσεις τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας; ὃς ἐν θέρει τὴν χειμέριον τροφὴν ἑαυτῷ θησαυρίζει, καὶ οὐχ ὅτι μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρὰ, διὰ ῥαθυμίας παραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινὶ ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπόθηται τοῖς ταμείοις· καὶ οὐδὲ τοῦτο ῥαθύμως, ἀλλὰ σοφῇ τινὶ ἐπινοίᾳ τὴν τροφὴν ἐπὶ

πλεῖστον διαρκεῖν μηχανώμενος. διακόπτει γὰρ ταῖς ἑαυτοῦ χηλαῖς, τῶν καρπῶν τὸ μεσαίτατον, ὡς ἂν μὴ ἐκφυέντες ἄχρηστοι πρὸς τροφὴν αὐτῷ γένοιντο· καὶ διαψύχει τούτους, ὅταν αἴσθηται αὐτῶν διαβρόχων· καὶ οὐκ ἐν παντὶ προσβάλλει καιρῷ, ἀλλ' ὅταν προαίσθηται τοῦ ἀέρος ἐν εὐδιινῇ καταστάσει φυλαττομένου· ἀμέλει οὐκ ἂν ἴδοις ὄμβρον ἐκ νεφῶν ἐπιῤῥυέντα, παρ' ὅσον χρόνον ἐκ τῶν μυρμήκων ὁ σῖτος προβέβληται. Μίμησαι τὴν γῆν ἄνθρωπε, καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. ἐκείνη μὲν γὰρ τοὺς καρποὺς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε· σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐποιΐας καρπὸν, σεαυτῷ τοῦτον συνάγεις, διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν. ἔδωκας τῷ πεινῶντι, καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προσθήκης ἐπανελθόν. ὥσπερ γὰρ ὁ σῖτος εἰς τὴν γῆν

πεσὼν, κέρδος δὲ προϊεμένῳ γίνεται, οὕτως
ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθεὶς, πο-
λύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδί-
δωσιν. Ἐὰν παραστῇ τῇ θύρᾳ σου ὁ τὴν
χρείαν αὐτοῦ ἐπανορθωθῆναι ζητῶν, μὴ
ἀνώμαλα ἴδῃς, μὴ εἴπῃς, οὗτος φίλος, οὗτος
συγγενὴς, οὗτος εὐεργέτης· ἐκεῖνος ξένος, ἀλ-
λότριος, ἄγνωστος· ἀνώμαλα βλέπων, οὐκ
ἐλεηθήσῃ. Φύσις μία, ἄνθρωπος καὶ οὗτος κἀ-
κεῖνος. χρεία μία, ἔνδεια ἐν ἀμφοτέροις ἡ
αὐτή· δὸς τῷ ἀδελφῷ, καὶ τῷ ξένῳ, μήτε
τὸν ἀδελφὸν ἀποστραφῇς, καὶ τὸν ξένον ἀδελ
φὸν οἰκεῖον ποίησαι· Βούλεταί σε παραμυ-
θητικὸν εἶναι τῶν δεομένων, οὐ προσωπολή-
πτην· οὐ τὸν συγγενῆ διδόντα, τὸν δὲ ξένον ἀπω-
θούμενον. πάντες γὰρ συγγενεῖς, πάντες ἀδελ
φοὶ, πάντες ἑνὸς πατρὸς ἔκγονοι. Εἰσί
τινες οἳ ἐξ ἐπικρατείας κινδύνου τινὸς ἀναρ-
πασθέντες ὑπὸ τοῦ κλίδωνος, καὶ μηδεμίαν
ἔχοντες περιλελειμμένην αὐτοῖς βίου λοι-

τὸν ἀφορμήν, ἀλλὰ μόνῃ τῇ ψυχῇ καὶ τῷ σώματι διαφυγόντες αὐτόν· ἡμεῖς τοίνυν, ὅσοι τῆς τῶν δυσχερῶν ἄγευστοι πείρας ἐμείναμεν, κοινὴν ἐκείνοις προσθῶμεν τὴν εὐποιΐαν ἑαυτῶν, ἀναγκαλισώμεθα τοὺς περισωθέντας μόλις τῶν ἀδελφῶν· εἴπωμεν πρὸς ἕκαστον ἕκαστος, νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη· καὶ τὸ συγγενὲς σῶμα σκεπάσωμεν· λυπήσωμεν ταῖς τοῦ δυσμενοῦς ἐπηρείαις τὴν ἡμετέραν παράκλησιν, ἵνα καὶ βλάπτων ἐκεῖνος μηδὲν μέγα βλάψαι δοκῇ· καὶ πολεμήσας, μηδένα δείξῃ νενικημένον· καὶ περιελὼν τὴν εὐποιΐαν τῶν ἀδελφῶν, ὑπὸ τῆς ἡμετέρας φιλοτιμίας φανείη νικώμενος. Διὰ μὲν γὰρ τὴν ἀγάπην, ἐν ἁπλότητι τε αἰδούμενον εἶναι πρὸς τοὺς αἰτοῦντας τὸν μεταδοτικὸν δεῖ, κατὰ τὸ φάσκον παράγγελμα, τῷ αἰτοῦντί σε δός· λογισμῷ δὲ πάλιν διακρίνειν ἑκάστου τὴν χρείαν τῶν προσαιτούντων, καθὼς

ἐν ταῖς πράξεσι μεμαθήκαμεν. διεδίδοτο γὰρ ἑκάστῳ, φησί, καθ᾽ ὅ, τι ἂν τις χρείαν εἶχεν. ἐπειδὴ γὰρ πολλοὶ ὑπερβαίνοντες τὴν χρῆσιν τῶν ἀναγκαίων, ἀφορμὴν ἐμπορείας καὶ ὑπόθεσιν τρυφῆς ἀσελγοῦς ποιοῦνται τὴν αἴτησιν, ἐπισημόνως καὶ οἰκονομικῶς ταῖς χρείαις ἑκάστου τὴν διανομὴν τῶν ἀναγκαίων γίνεσθαι δεῖ. Τοῖς γὰρ δὴ τὰ θρηνώδη μέλη πρὸς τὴν τῶν γυναικῶν ἀπάτην συντιθεῖσι, καὶ τὰ πηρώματα τοῦ σώματος καὶ τὰ ἕλκη πρὸς ἐμπορείας ἀφορμὴν συντιθεῖσιν, οὐ πάντως τὸ δαψιλὲς τῆς διακονίας ὠφέλιμον· ἀφορμὴ γὰρ αὐτοῖς εἰς κακίαν ἡ χορηγία γενήσεται· ἀλλὰ μικρᾷ δόσει χρὴ τὴν τῶν τοιούτων ὑλακὴν ἀπωθεῖσθαι, τὸ δὲ συμπαθὲς καὶ φιλάδελφον ἐπιδείκνυσθαι ἐν τοῖς μεθ᾽ ὑπομονῆς τὴν θλῖψιν φέρειν δεδιδαγμένοις, ὑφ᾽ ὧν καὶ λεχθήσεται, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. Διὰ τοῦτο τῷ ὄντι ἐμπειρίας

χρήζει ἡ διάγνωσις τοῦ ἀληθῶς δεομένου, καὶ τοῦ κατὰ πλεονεξίαν αἰτοῦντος. καὶ ὁ μὲν τῷ θλιβομένῳ δοὺς, τῷ κυρίῳ ἔδωκε, καὶ παρ' αὐτοῦ λήψεται τὸν μισθόν· ὁ δὲ τῷ περιερχομένῳ παρασχόμενος παντὶ, προσέρριψε κυνὶ φορτικῷ διὰ τὴν ἀναίδειαν, οὐκ ἐλεεινῷ δὲ διὰ τὴν ἔνδειαν. Ἀκούσατε οἱ πλούσιοι, ὁποῖα συμβουλεύομεν τοῖς πτωχοῖς διὰ τὴν ὑμετέραν ἀπανθρωπίαν, ἐγκαρτερεῖν μᾶλλον τοῖς δεινοῖς, ἢ τὰς ἐκ τῶν τόκων συμφορὰς ὑποδέχεσθαι· εἰ δὲ ἐπείθεσθε τῷ κυρίῳ, τίς χρεία τῶν λόγων τούτων· δανείζετε γάρ φησι, παρ' ὧν οὐκ ἐλπίζετε λαβεῖν· ὅταν γὰρ πτωχῷ παρέχειν μέλλῃς διὰ τὸν κύριον, τὸ αὐτὸ καὶ δῶρόν ἐστι καὶ δάνεισμα· δῶρον μὲν, διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως· δάνεισμα δὲ, διὰ τὴν μεγαλοδωρεὰν τοῦ δεσπότου, τοῦ ἀποτιννύντος ὑπὲρ αὐτοῦ, ὃς μικρὰ λαβὼν διὰ τοῦ πένητος, μεγάλα ὑπὲρ αὐτοῦ ἀποδίδωσι. Σκο-

πείτω τοίνυν τοὺς ἰδίους πόρους τῶν πλουτούντων ἕκαστος, ἐξ ὧν ἀναφέρειν δῶρα μέλλει θεῷ, μὴ τὸν πένητα κατεδυνάστευσε, μὴ τὸν ἀσθενέστερον ἐβιάσατο, μὴ τὸν ὑποκείμενον αὐτῷ πεπλεονέκτηκεν, ἐξουσίᾳ χρώμενος ἀντὶ δικαιοσύνης. τὸ δίκαιον γὰρ καὶ τὴν ἰσότητα κελευόμεθα φυλάττειν καὶ πρὸς τοὺς δούλους. Μὴ γὰρ ὅτι κρατεῖς, βιάζου· μηδὲ ὅτι δύνασαι, πλεονέκτει· ἀλλ᾽ ὅτι πάρεστί σοι τὰ τῆς ἐξουσίας, δεῖξον τὰ τῆς δικαιοσύνης. οὐ γὰρ ἐν ᾧ μὴ δύνασαι, παρέξεις τὴν ἀπόδειξιν τῆς πρὸς θεὸν ὑπακοῆς καὶ τοῦ φόβου, ἀλλ᾽ ἐν ᾧ παραβῆναι δυνάμενος, οὐ παραβαίνεις. εἰ δὲ ἀφελόμενος τὰ τῶν πενήτων πένησι δίδως, κάλλιον ἦσθα μήτε ἁρπάζων μήτε διδούς. Οὔτε γὰρ ἐξ ἀδίκων κερδῶν εὐεργεσία πρὸς τὸν δεόμενον δεκτὴ παρὰ θεῷ, οὔτε ὁ τῶν ἀδικιῶν ἀπεχόμενος ἐπαινετὸς, εἰ μηδενὶ μεταδοίη τῶν ἑαυτοῦ. Περὶ μὲν γὰρ τῶν ἀδικουμέ-

των, καὶ δῶρα θεῷ προσφέρειν ἐπιχειρούντων, γέγραπται, θυσία ἀσεβῶν, βδέλυγμα κυρίῳ· περὶ δὲ τῶν μὴ ἐλεούντων, ὁ φράσσων τὰ ὦτα αὐτοῦ τοῦ μὴ ὑπακοῦσαι πένητος, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ ὑπακούων. Διὰ τοῦτο ἡ παροιμία συμβουλεύει, τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. Εἰ γὰρ ἐξ ἀδικίας καὶ ἁρπαγῆς μέλλεις προσφέρειν τῷ θεῷ, κάλλιον μήτε κλήσασθαι τοιαύτην κλῆσιν, μήτε προσφέρειν ἐξ αὐτῆς. καθαρὸν γὰρ δῶρον ἀνοίσει τὴν ψυχήν, ὡς γέγραπται, εὐχαὶ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ· καὶ πάλιν, εἰ κλώμενος ἐκ δικαίων πόνων μὴ προσφέρεις θεῷ προσφορὰς ἀφ' ὧν τρέφονται πένητες, ἁρπαγὴ λογισθήσεταί σοι, καθά φησι διὰ τοῦ προφήτου Μαλαχίου ὁ θεός, αἱ ἀπαρχαὶ καὶ τὰ ἐπιδέκατα ὑμῶν, μεθ' ὑμῶν εἰσί, καὶ ἔσται ἡ διαρπαγὴ ἐν τοῖς οἴκοις ὑμῶν. Τί τοι-

νων μολύνεις τὸν σαυτοῦ πλοῦτον ἄνθρωπε, ἐπεισάγων αὐτῷ τὰ μὴ δίκαια κέρδη. Τί βδελυκτὴν ποιεῖς τὴν σαυτοῦ προσφορὰν ἐξ ἀδικίας, προσφέρειν ἐπιχειρῶν ἐν ᾧ μέλλεις ἕτερον πτωχὸν ἐλεεῖν. ἐκεῖνον ἐλέησον ὃν ἀδικεῖς· εἰς τοῦτον κατάχρησαι τῇ φιλανθρωπίᾳ· τούτῳ χάρισαι, καὶ πληρώσεις τὸ δέον μετὰ κρίσεως. Οὐ γὰρ κοινωνήσει πλεονεξίᾳ θεός, οὐδὲ ληστῶν καὶ ἁρπακτῶν κοινωνὸς ὁ κύριος· οὐδὲ ὡς ἀδύνατος τρέφειν τοὺς πένητας, ἡμῖν κατέλιπε τρέφειν αὐτούς, ἀλλὰ τὴν δικαίαν καὶ φιλάνθρωπον καρποφορίαν παρ' ἡμῶν ζητῶν, εἰς ἡμετέραν εὐεργεσίαν. ἐλεημοσύνη ἐξ ἀδικίας οὐ γίνεται, οὐδὲ ἐκ κατάρας εὐλογία, οὐδὲ ἐκ δακρύων εὐεργεσίαι· κενοδοξία τὰ τοιαῦτα, καὶ πρὸς τοὺς ἐξ ἀνθρώπων ἐπαίνους, οὐ πρὸς τὸν ἔπαινον τὸν ἐκ θεοῦ. Ἐὰν γὰρ ὡς θεοῦ τὴν ἐλεημοσύνην ὁρῶντος ποιῇς αὐτήν, φυλάξῃ μὴ ποιεῖν ἐκ πλεονεξίας, εἰδὼς ὅτι τὸν ἐπόπτην

θεὸν σὺ εὐφραίνῃς· οὕτως οὖν ἐλεημοσύνην ποιῶμεν, ἵνα ἀπολάβωμεν παρὰ θεοῦ· ἀποδίδωσι γὰρ ὁ θεὸς ἐκείνοις, οὓς ἐπαινεῖ, ἐπαινεῖ δὲ πλεονέκτην οὐδένα. Μὴ πλανᾶσθε, οὐκ ἄλλως ἀποδέξεται Χριστὸς τὰς εἰς τοὺς πτωχοὺς φιλοτιμήσεις, εἰ μὴ λυθείη ἡ κατὰ τῶν ἀδικηθέντων πλεονεξία. οὕτως ὁ κύριος ἀπεδέξατο τοῦ Ζακχαίου τὴν ὀρθότητα, καὶ ἔφη, σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, ὅτι προθέμενος ἀποδοῦναι τετραπλάσιον, εἴ τι ἐσυκοφάντησεν, οὕτω τῶν ὑπολειπομένων χρημάτων τὰ ἡμίση πτωχοῖς ἀπεμέρισεν· ἤδει γὰρ ὅ,τι Χριστὸν ὑποδέξασθαι βούλεται. Δῶμεν τοιγαροῦν ἐξουσίαν ἀδελφοί, ὑπαρχθῆναι βουλομένῳ πρὸς τοὺς δεομένους τῷ πλούτῳ, μὴ παραδράμωμεν τοὺς ἐν ὀφθαλμοῖς ἡμῶν ἔτι καὶ νῦν κειμένους λαζάρους· μηδὲ τῶν ψιχίων τῆς ἡμετέρας τραπέζης ἀρκούντων αὐτοῖς εἰς κόρον βασκαίνωμεν, μη-

δὲ τὸν ἀνήμερον ἐκεῖνον ζηλώσαντες πλούσιον, πρὸς τὴν αὐτὴν ἐκείνῳ τῆς γεέννης φλόγα μετέλθωμεν, ἐπεὶ πολλὰ μὲν τοῦ Ἀβραὰμ δεηθησόμεθα τότε, πολλὰ δὲ ἑκάστου τῶν βεβιωκότων καλῶς, οὐδὲν δὲ ἔσται κέρδος ἡμῖν τῆς βοῆς. ἀδελφὸς γὰρ οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; Ἐρεῖ δὲ ἕκαστος ἐκείνων ἡμῖν κεκραγώς, μὴ ζήτει φιλανθρωπίαν, ἣν αὐτὸς ἐφ' ἑτέρων ἠγνόησας, μηδὲ βούλου λαβεῖν οὕτω μεγάλα, σὺ τῶν ἐλαττόνων φεισάμενος· ἀπόλαυε τούτων ὧν ἐν τῷ βίῳ συνέλεξας. δάκρυε νῦν, ὅτι τότε δακρύοντα τὸν ἀδελφὸν ὁρῶν οὐκ ἠλέησας. Ταῦτα ἐροῦσι καὶ δικαίως ἡμῖν. δέδοικα δὲ ἐγώ, μὴ καὶ πικροτέροις ἡμᾶς τούτων βάλωσι ῥήμασιν, ἐπειδὴ καὶ νικῶμεν ἐκεῖνον, ὡς ἴστε, τῇ πονηρίᾳ τὸν πλούσιον· Ὅτι κόλακες μὲν περιάσι, μετὰ δὲ λαμπρᾶς ἑστιαθῶσι παρ' ἡμῖν, καὶ τὰς χεῖρας πεπληρωμένας πολυτελῶν δώρων κατάγου-

σι, καὶ μανθάνουσι παρ' ἡμῶν, ὅτι λυσιτελεῖ μᾶλλον τῶν ἀρετῶν τὰ τοιαῦτα μετιέναι καὶ περιέπειν αὐτοῖς· εἰ δὲ παραστείη πένης ἡμῖν, μόλις ὑπὸ τοῦ λιμοῦ φθειρόμενος, ἀποστρεφόμεθα, μετὰ σπουδῆς ἀποτρέχομεν, ὥσπερ δεδοικότες, μὴ καὶ τῆς δυσπραγίας αὐτῆς ἐκ τοῦ σχολαιότερον βαδίσαι μετάσχωμεν. καὶ εἰ μὲν εἰς γῆν νεύσει τὴν συμφορὰν αἰσχυνόμενος, ὑποκρίσεως εἶναι λέγομεν ἐργασίαν αὐτόν· εἰ δὲ μετὰ παρρησίας προσβλέψοι διὰ τὸ βαρὺ τοῦ λιμοῦ κέντρον, ἡμεῖς ἀναιδῆ πάλιν καλοῦμεν καὶ βίαιον· καὶ εἰ μὲν τύχοι καλυπτόμενος ὑγιέσιν ἐσθήμασι, δεδωκότος τινὸς, ὡς ἄπληστον ἀπελαύνομεν, καὶ ὀμνύμεθα προσποιήσεως πενίαν αὐτόν· εἰ δὲ σκεπάζοιτο σεσηπόσι ῥακίοις, ὡς ὀδωδότα πάλιν διώκομεν. Καὶ οὔτε τὸ τοῦ κλίσαντος ὄνομα ταῖς ἱκετηρίαις ἐκεῖνος ἀναμιγνὺς, οὔτε τὸ μὴ τοιούτοις πάθεσι περιπεσεῖν ἡμᾶς ἐξορκῶν συνεχῶς, δυνα-

ται τὴν ἀνελεῆ κάμψαι προαίρεσιν· διὰ ταῦτα ὑφορῶμαι βαρύτερον τὸ γεέννης τὸ πῦρ, ἢ περ ἐκεῖνος ὁ τὸν Λάζαρον ὑπεριδὼν πλούσιος. Ινα δὲ μὴ τοῦτο γένηται, τῷ ἐλέῳ τὸν ἔλεον προσκτησώμεθα, ὅπως καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ιησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ-τρὸς ἡμῶν Βασιλείου, λόγ. ε.

ΠΕΡΙ ΠΛΟΥΤΟΥ ΚΑΙ ΠΕΝΙΑΣ.

ΤΑ ΦΡΕΑΤΑ ἐξαντλούμενα, εὐρύτερα γίνεται· καὶ πλούτου, ὁ μὲν στάσιμον, ἄχρηστον· ὁ δὲ κινούμενον καὶ μεταβαῖνον, κοινωφελές τε καὶ ἔγκαρπον.

Καὶ θαυμάζειν μοι ἔπεισι, πῶς μετὰ τὴν περιττὴν καὶ ἄχρηστον τῶν ἀναλωμάτων ἐπίνοιαν, ἐπειδὰν εἰς μυρία διασπασθεὶς ὁ πλοῦτος ἔτι περιττεύῃ, κατὰ γῆς ὠθεῖται παρὰ τοῦ ἔχοντος, καὶ ἐν ἀπορρήτοις φυλάσσεται· βαβαὶ, ὅτε οὐκ ἠδυνήθη ταῖς μυρίαις ἐπινοίαις ἐκδαπανῆσαι τὸν πλοῦτον, τότε αὐτὸν εἰς τὴν γῆν ἀπεκρύψατο.

Καὶ δοκεῖ μοι τὸ πάθος τῆς τοῦ πλουσίου ψυχῆς, τῷ τῶν γαστριμάργων προσεοικέναι, οἱ

διαρράγῆναι μᾶλλον ὑπὸ λαιμαργίας αἱρῶνται, ἢ τι τῶν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. Τοιοῦτος ὁ ἐν τῷ εὐαγγελίῳ πλούσιος. παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες, κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο· ταύτῃ τῇ νυκτὶ παρελαμβάνετο, καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο.

Μανία δεινή· ἕως μὲν ἐν μετάλλοις ἦν ὁ χρυσός, ἀνηρεύνα τὴν γῆν· ὅτε φανερὸς ἐγένετο, πάλιν αὐτὸν ἐν τῇ γῇ ἀφανίζει, εἶτ' οἶμαι συμβαίνει, ᾧ κατορύσσοντι τὸν πλοῦτον, συγκατορύσσειν καὶ τὴν καρδίαν. ὅπου γὰρ ὁ θησαυρός σου, φησὶν, ἐκεῖ καὶ ἡ καρδία.

Δεῦρο οὖν ποικίλως διάθου τὸν πλοῦτον ὦ πλούσιε, μὴ βαρύτιμος ἔσο· μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα· μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν, μὴ κοινὴν ἔνδειαν δι' εὐπορίαν ἰδίαν· μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων.

σὺ γὰρ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δ᾽ ἀδελφόν σου οὐ περιβλέπεις· καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς· καὶ ἡ μὲν εὔχροιά σε τοῦ χρυσοῦ ὑπερήδει, ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμός, οὐ λογίζῃ. Καὶ τίνα, φησίν, ἀδικῶ, συνέχων τὰ ἐμαυτοῦ. ποῖα, εἰπέ μοι, σαυτοῦ· πόθεν αὐτὰ λαβὼν εἰς τὸν βίον εἰσήνεγκας· ὥσπερ ἂν εἴ τις ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἐξείργοι τοὺς ἐπιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον. τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι· τὰ γὰρ κοινὰ προκαταστάντες, ἴδια ποιοῦνται διὰ τὴν πρόληψιν, ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής. οὐχὶ γυμνὸς ἐξέπεσας τῆς γαστρός;

οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέ-
φῃς; τὰ δὲ παρόντα σοι πόθεν. εἰ μὲν ἀπὸ
ταυτομάτου λέγῃς, ἄθεος εἶ, μὴ γνωρίζων
τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι.
εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ θεοῦ, εἰπὲ τὸν λό-
γον ἡμῖν δι' ὃν ἔλαβες. μὴ ἄδικος ὁ θεὸς, ὁ
ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; διὰ τί, σὺ
μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; ἢ πάντως
ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας
μισθὸν δέξῃ, κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις
τῆς ὑπομονῆς τιμηθῇ; Ἀλλ' ἀναγκαῖος
ὁ πλοῦτος διὰ τοὺς παῖδας; εὐπρόσω-
πος ἀφορμὴ πλεονεξίας αὕτη. τοὺς γὰρ
παῖδας προβάλλεσθε, τὴν δὲ καρδίαν
πληροφορεῖτε. μὴ αἰτιῶ τὸν ἀναίτιον. ἴδιον ἔ-
χει δεσπότην, ἴδιον οἰκονόμον, παρ' οὗ τὴν
ζωὴν ἐδέξατο, παρ' αὐτοῦ τὰς ἀφορμὰς ἀ-
ναμενέτω τοῦ βίου. μὴ τοῖς γεγαμηκόσιν
οὐκ ἐγράφη τὰ εὐαγγέλια; εἰ θέλεις τέλειος
εἶναι πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτω-

χοῖς. Ὅτε ᾔτεις παρὰ τοῦ θεοῦ τὴν εὐπαιδίαν, ὅτε ἠξίους γενέσθαι παίδων πατήρ, ἆρα προσετίθης τοῦτο, δός μοι τέκνα, ἵνα παρακούσω τῶν ἐντολῶν σου; δός μοι τέκνα, ἵνα μὴ φθάσω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; τίς ὁ καὶ ἐγγυητὴς ἔσται τῆς τοῦ παιδὸς προαιρέσεως, ὅτι εἰς δέον χρήσεται τοῖς δοθεῖσι. πολλοῖς γὰρ ὁ πλοῦτος, ὑπηρέτης ἀκολασίας ἐγένετο. Ὅρα οὖν, μὴ μετὰ μυρίων πόνων τὸν πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις παρασκευάσῃς, εἶτα εὑρεθῇς διπλᾶ τιμωρούμενος, ὧν τε αὐτὸς ἠδίκησας, καὶ ὧν ἑτέροις ἐφωδίασας. οἱ μὲν γὰρ παῖδες παρὰ γονέων μηδὲν δεξάμενοι, ἑαυτοῖς πολλάκις οἴκους ἐποίησαν· ἡ ψυχὴ δὲ παρὰ σοῦ ἐγκαταλειφθεῖσα, παρὰ τίνος ἐλεηθήσεται. Τί τοίνυν τοσοῦτον ἐπτόησαι περὶ τὸν χρυσόν· τίς καλλωπιστὴς ἠδυνήθη μίαν ἡμέραν τῷ βίῳ προσθεῖναι. τίνος ἐφείσατο θάνατος, διὰ τὸν πλοῦτον· τίνος

ἀπέχετο νόσος διὰ τὰ χρήματα. Ἕως πότε χρυσὸς, τῶν ψυχῶν ἡ ἀγχόνη, τοῦ θανάτου τὸ ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ· ἕως πότε πλοῦτος, ἡ τοῦ πολέμου ὑπόθεσις, δι᾽ ὃν ἀκονᾶται ξίφη, δι᾽ ὃν συγγενεῖς ἀγνοοῦσι τὴν φύσιν, καὶ ἀδελφοὶ κατ᾽ ἀλλήλων φονικὸν βλέπουσι. τίς ἐστιν ὁ ψεύδους πατὴρ, τίς ὁ πλαστογραφίας δημιουργὸς, τίς ὁ τὴν ἐπιορκίαν γεννήσας. οὐχ ὁ πλοῦτος; οὐχ ἡ περὶ τοῦτον σπουδή; τί πάσχετε ὦ ἄνθρωποι, τίς ὑμῖν τὰ ὑμέτερα εἰς τὴν καθ᾽ ὑμῶν ἐπιβουλὴν περιέστρεψε. μὴ γὰρ ἐφόδια κακῶν ἐδόθη τὰ χρήματα; λύτρον ψυχῆς, μὴ γὰρ ἀφορμὴ ἀπωλείας; Εἰ μὲν γὰρ ἐφόδιον πρὸς ἀδικίαν ὁ πλοῦτος, ἐλεεινὸς ὁ πλουτῶν· εἰ δὲ ὑπηρεσία πρὸς ἀρετὴν, οὐκ ἔχει χώραν ἡ βασκανία, κοινῆς τῆς ἀπ᾽ αὐτοῦ ὠφελείας ἅπασι προκειμένης. Διὰ τοῦτο προσήκει, ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος μὴ τῷ κεκτῆσθαι μᾶλλον φρο-

ἐστὶν, ἢ τῷ εἰδέναι αὐτὸν διατίθεσθαι. ὁ γὰρ τοῦ Σωκράτους λόγος ἔχει, ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται, πειραθῆναι.

Ὁ γὰρ πλοῦτος καὶ ἡ ὑγίεια ὑπηρεσία πολλάκις πρὸς ἁμαρτίαν τοῖς κακῶς χρωμένοις τούτων ἑκάστῳ γέγονε. Πενία δὲ μετ' ἀληθείας, πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι τιμιωτέρα. Ἀλλ' οὐδὲν τούτων ἕκαστος ὑμῶν ἐννοεῖ, ἀλλ' ὁρᾶν ὑπὸ τῆς ἀνάγκης δεῖ ἄρα κατακαμπτόμενον, περὶ τῶν γονάτων ἱκετεύοντα, τί οὐ ποιοῦντα ταπεινὸν, ἵνα κἂν δανείῳ τῆς ἀπορίας παραμυθήσηται, οὐκ ἐλεεῖ τὸν παρ' ἀξίαν πράττοντα, ἀλλ' ἄκαμπτος ἕστηκε καὶ ἀμείλικτος, ἐξομνύμενος τε ἐπαρώμενος ἑαυτῷ, ἦ μήν, ἀπορεῖν παντελῶς καὶ περισκοπεῖν τε αὐτὸς, εἴ τινα εὕροι τῶν δανειζόντων, καὶ πιστούμενος τὸ ψεῦδος διὰ τῶν ὅρκων, κακὸν παρεμπόρευμα τῆς

ἀπανθρωπίας, τὴν ἐπιορκίαν προσεπιθέμενος. ἐπειδὰν δὲ ὁ ζητῶν τὸ δάνειον τόκων μνησθῇ, καὶ ὑποθήκας ὀνομάσῃ, τότε καταβαλὼν τὴν ὀφρὺν, προσεμειδίασε, καί που καὶ πατρῴας φιλίας ἐμνήσθη, καὶ συνήθη εἶπε, καὶ φίλον· καὶ ὀψόμεθα, φησὶν, εἴπου τί ἐστιν ἡμῖν ἀποκείμενον ἀργύριον. ἔστι δὲ παρακαταθήκη φίλου ἀνδρὸς ἐπ' ἐργασίᾳ παρατεθειμένου ἡμῖν· ἀλλ' ἐκεῖνος μὲν βαρεῖς ἐν αὐτῷ τοὺς τόκους ὥρισεν· ἡμεῖς δὲ πάντως ἐπανήσομέν τι, καὶ ἐλάττοσι τόκοις δώσομεν. Τοιαῦτα κατασχηματιζόμενος, καὶ τοιούτοις λόγοις ὑποσαίνων καὶ δελεάζων τὸν ἄθλιον, γραμματίοις αὐτὸν προσκαταδήσας, καὶ πρὸς τῇ καταπονούσῃ πενίᾳ, ἔτι καὶ τὴν ἐλευθερίαν τοῦ ἀνδρὸς ἀφελόμενος, ᾤχετο. Τί ποιεῖς ἄθλιε· χρήματα καὶ πόρους ἐπιζητεῖς παρὰ τοῦ ἀπόρου; εἰ πλουσιώτερόν σου ἑαυτὸν ἀποφαίνειν ἐδύνατο, τί ἐζήτει παρὰ τὰς θύρας τὰς

ρίας. ὢ τῆς συμφορᾶς. ἐπὶ συμμαχίαν ἐλθὼν, πολέμιον εὗρεν· ἀλεξιφάρμακα περιζητῶν, δηλητήριον ἐνέτυχε. δέον παραμυθεῖσθαι τοῦ ἀνδρὸς τὴν ἀπορίαν, σὺ δὲ πολυπλασιάζεις τὴν ἔνδειαν· ὥσπερ ἂν εἴ τις ἰατρὸν πρὸς κάμνοντας εἰσιὼν, ἀντὶ τοῦ εἰς ὑγείαν αὐτοὺς ἐπαναγαγεῖν, ὁ δὲ καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως προσαφέλοιτο. καὶ σὺ τοίνυν τὰς συμφορὰς τῶν ἀθλίων, ἀφορμὴν πόρων ποιῇ· καὶ ὥσπερ οἱ γεωργοὶ ὄμβρους εὔχονται εἰς πολυπλασιασμὸν τῶν σπερμάτων, οὕτω καὶ σὺ ἐνδείας καὶ ἀπορίας ἀνθρώπων ἐπιζητεῖς, ἵνα καὶ σοὶ ἐνεργὰ τὰ χρήματα γένηται. ἢ ὁ μὲν ζητῶν τὸ δάνεισμα, μέσος ἀμηχανίας ἀπειλημμένος, ὅταν μὲν πρὸς τὴν πενίαν ἀπίδῃ, ἀπογινώσκει τὴν ἔκτισιν· ὅταν δὲ πρὸς τὴν πρόσοδον ἀνάγκην, κατατολμᾷ τοῦ δανείσματος. Ὡς δὲ τὰ μὲν χρήματα ἀποῤῥῇ, ὁ δὲ χρόνος παριὼν τοὺς τόκους

ἑαυτῷ συμπεριάγει· οὐ νύκτες ἐκείνῳ ἀνάπαυσιν φέρουσιν, οὐχ ἡ ἡμέρα φαιδρά, οὐχ ὁ ἥλιος τερπνὸς, ἀλλὰ δυσχεραίνει τὸν βίον, μισεῖ τὰς ἡμέρας πρὸς τὴν προθεσμίαν ἐπειγομένας· κἂν καθεύδῃ, ἐνύπνιον βλέπει τὸν δανειστὴν, κακὸν ὄναρ τῇ κεφαλῇ περιστάμενον· κἂν γρηγορῇ, ἔννοια αὐτῷ καὶ φροντὶς ὁ τόκος ἐστίν. Ἀλλ' ἔστιν εἰπεῖν πρὸς τὸν δανειζόμενον, πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς, τοῦτ' ἔστι, μὴ ἐπ' ἀλλοτρίας πηγὰς βάδιζε, ἀλλ' ἐξ οἰκείων λιβάδων συνάγαγε σεαυτῷ τὰς παραμυθίας τοῦ βίου· ἔχεις χαλκώματα, ἐσθῆτα, ὑποζύγιον, σκεύη παντοδαπά, ταῦτα ἀπόδου, πάντα προέσθαι καταδέξαι, πλὴν τῆς ἐλευθερίας. ἀλλ' αἰσχύνομαι αὐτὰ, φησί. τί οὖν, ὅτι μικρὸν ὕστερον ἄλλος αὐτὰ προκομίσει, καὶ ἀποκηρύξει τὰ σὰ, καὶ ἐπ' ὀφθαλμοῖς σοῖς ἐπευωνίζων αὐτὰ διαθήσεται. βέλτιον ταῖς κατὰ μικρὸν ἐπινοίαις

τὴν χρείαν παραμυθεῖσθαι, ἢ ἀθρόως ἐπαρθέντα τοῖς ἀλλοτρίοις, ὕστερον πάντων ὁμοῦ τῶν προσόντων ἀπογυμνοῦσθαι.

Εἰ μὲν οὖν ἔχεις ὅθεν ἀποδῷς, τί οὐχὶ τὴν παροῦσαν ἔνδειαν ἐκ τούτων τὴν ἀφορμὴν διαλύεις· εἰ δὲ ἀπορεῖς πρὸς τὴν ἔκτισιν, κακὸν κακῷ θεραπεύεις; πένης εἶ νῦν, ἀλλ' ἐλεύθερος· δανεισάμενος δὲ, οὔτε πλουτήσεις, καὶ τὴν ἐλευθερίαν ἀφαιρεθήσῃ. δοῦλος τοῦ δεδανεικότος ὁ δανεισάμενος, καὶ δοῦλος καὶ μισθοφόρος, ἀπαραίτητον φέρων τὴν λειτουργίαν. Οἱ κύνες λαβόντες, ἡμεροῦνται· ὁ δανειστὴς λαμβάνων, προσερεθίζεται· οὐ παύεται ὑλακτῶν, ἀλλὰ τὸ πλεῖον ἐπιζητεῖ· ἐὰν ὀμνύῃς, ἀπιστεῖ, ἐρευνᾷ τὰ ἔνδον, τὰ συναλλάγματά σου πολυπραγμονεῖ, ἐπὶ γαμετῆς καταισχύνει, ἐπὶ φίλων καθυβρίζει, ἐν ταῖς ἀγοραῖς ἄγχει, κακὸν συνδότημα ἑορτῆς, ἀβίωτόν σοι κατασκευάζει τὸν βίον. ἀλλὰ μεγάλη, φησὶν, ἡ ἀνάγκη, καὶ οὐ-

δεῖ μοι πόρους χρημάτων ἑτέρους. τί οὖν τὸ ὄφελος ἐκ τοῦ τὴν σήμερον ἀπαρτίσασθαι. τὸ γὰρ δάνος οὐκ ἀπαλλαγὴν παντελῆ, ἀλλὰ μικρὰν ἀναβολὴν τῆς ἀμηχανίας παρέχεται. μὴ δανεισάμενος μὲν, ὁμοίως ἔσῃ πένης καὶ σήμερον, καὶ πρὸς τὸ ἐφεξῆς. καὶ νῦν μὲν οὐδεὶς ἐγκαλέσει σοι πτωχεύοντι· ἀκούσιον γὰρ τὸ κακόν. ἐὰν δὲ τόκοις ὑπεύθυνος ᾖς, οὐκ ἔστιν ὃς οὐ μέμψεταί σου τὴν ἀβουλίαν. ἤδη βούλευσαι πόθεν ἀποτίσεις ἀφ' ὧν λαμβάνεις; ἀλλ' οὐκ ἐξαρκεῖ καὶ πρὸς τὴν χρείαν, καὶ πρὸς τὴν ἔκτισιν. ἐὰν δὲ δὴ καὶ τοὺς τόκους λογίσῃ, πόθεν τὰ χρήματα εἰς τοσοῦτον πολυπλασιασθήσεται. οὐδεὶς τραύματα τραύμασι θεραπεύει, οὐδὲ κακῷ τὸ κακὸν ἰᾶται. Πῶς οὖν διατραφῶ, φησίν. ἔχεις χεῖρας, ἔχεις τέχνην, μισθάρνει, διακόνει· πολλαὶ ἐπίνοιαι τοῦ βίου, πολλαὶ ἀφορμαί. ἀλλ' ἀδυνάτως ἔχεις; προσαίτει παρὰ τῶν κεκτημένων. ἀλλὰ αἰσχρὸν τὸ αἰτεῖν; αἰσχρὸν

μὲν οὖν τὸ δανεισάμενον ἀποστερεῖν. εἶτα ὁ μύρμηξ μὲν, δύναται μὴ προσαιτῶν, μήτε δανειζόμενος, διατρέφεσθαι· καὶ μέλισσαι τὰ λείψανα τῆς οἰκείας τροφῆς βασιλεῦσι χαρίζονται, οἷς οὔτε χεῖρας, οὔτε τέχνας ἡ φύσις δέδωκε. σὺ δὲ τὸ εὐμήχανον ζῷον ὁ ἄνθρωπος, μίαν τῶν πασῶν μηχανὴν οὐχ εὑρήσεις πρὸς τὴν τοῦ βίου διαγωγήν; Πλούσιος εἶ; μὴ δανείζου· πένης εἶ; μὴ δανείζου. εἰ μὲν γὰρ εὐπορεῖς, οὐ χρήζεις δανείσματος· εἰ δὲ οὐδὲν ἔχεις, οὐκ ἀποτίσεις τὸ δάνειον. μὴ δῶς σεαυτοῦ τὸν βίον εἰς ὑστεροβουλίαν. ἐν τούτῳ διαφέρουσι τῶν πλουτούντων οἱ πένητες, τῇ ἀμεριμνίᾳ, καὶ καταγελῶσιν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες· καὶ συνεστώτων ἀεὶ καὶ φροντιζόντων, αὐτοὶ ἀφροντιστοῦντες καὶ ἀνιέμενοι. Ὁ μέντοι ὀφείλων, καὶ πένης ἐστὶ, καὶ πολυμέριμνος, καὶ συνόνοις πάντα τὸν χρόνον, νῦν μὲν τὴν ἑαυτοῦ οὐσίαν ἀποτιμώμενος,

νῦν δὲ τὰς οἰκίας τὰς πολυτελεῖς, τοὺς ἀγροὺς τῶν πλουσίων, τὰς ἐσθῆτας τῶν ἐντυγχανόντων. Εἰ ταῦτα ἐμὰ ἦν, φησίν, ἀπεδιδόμην πόσου καὶ πόσου, καὶ ἀπηλλασσόμην τοῦ τόκου. Ταῦτα αὐτῷ καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν ἐγκαθέζεται τῇ καρδίᾳ, ἐὰν τὴν θύραν πατάξῃς, ὁ χρεώστης ὑπὸ τὴν κλίνην· σφοδρῶς εἰσέδραμέ τις, τοῦ δὲ ἐπάταξεν ἡ καρδία· ὑλακτεῖ ὁ κύων, ὁ δὲ ἱδρῶτι ῥεῖται, καὶ ἀγωνίᾳ συνέχεται, καὶ περισκοπεῖ πόθεν φύγῃ· ἡ προθεσμία προάγει, μεριμνᾷ τί ψεύσεται, ποίαν πλασάμενος πρόφασιν, τὸν δανειστὴν διακρούσεται. Τί πολυπλόκῳ θηρίῳ σεαυτὸν παραζευγνύεις. Τοὺς λαγωοὺς φασὶν καὶ τίκτειν ὁμοῦ, καὶ τρέφειν, καὶ ἐπικυΐσκεσθαι· καὶ τοῖς τοκογλύφοις τὰ χρήματα ὁμοῦ καὶ δανείζεται, καὶ γεννᾶται, καὶ ὑποφύεται. οὔπω γὰρ ἐδέξω εἰς χεῖρας, καὶ τοῦ παρόντος μηνὸς ἀπῃτήθης τὴν ἐργασίαν, καὶ τοῦτο πάλιν δανεισθὲν ἕτερον κα-

κἂν ἐξέθρεψε, κἀκεῖνο ἔτεκεν, καὶ τὸ κακὸν εἰς ἄπειρον. τόκος γάρ, ὡς οἶμαι, διὰ τὴν πολυγονίαν τοῦ κακοῦ προσηγόρευται. πόθεν γὰρ ἄλλοθεν ἢ τάχα τόκος λέγεται διὰ τὰς ὠδῖνας καὶ λύπας, ἃς ἐμποιεῖν ταῖς ψυχαῖς τῶν δανειζομένων πέφυκεν. ὡς γὰρ ἡ ὠδὶς τῇ τικτούσῃ, οὕτως ἡ προθεσμία τῷ ὑποχρέῳ παρίσταται, τόκος ἐπὶ τόκῳ, πονηρῶν γονέων πονηρὸν ἔκγονον. Τὰς ἐχίδνας λέγουσι τὴν γαστέρα τῆς μητρὸς διεσθιούσας τίκτεσθαι· καὶ οἱ τόκοι τοὺς οἴκους τῶν ὀφειλόντων ἐκφαγόντες ἀπογεννῶνται. τὰ σπέρματα χρόνῳ φύεται, ὁ δὲ τόκος σήμερον γεννᾶται, καὶ σήμερον τοῦ τίκτειν ἄρχεται. τῶν αὐξουμένων ἕκαστον, ἐπειδὰν πρὸς τὸ οἰκεῖον ἀφίκηται μέγεθος, τῆς αὐξήσεως ἵσταται· τὸ δὲ τῶν πλεονεκτῶν ἀργύριον τῷ χρόνῳ παντὶ συμπαραύξεται. Τὰ ζῶα παραδόντα τοῖς ἐγγόνοις τὸ τίκτειν, αὐτὰ τῆς κυήσεως παύεται. τὰ δὲ τῶν δανειστῶν ἀργύρια καὶ τὰ ἐπι-

γινόμενα τίκτει, καὶ τὰ ἀρχαῖα νεάζει.

Καὶ ὥσπερ ἐπὶ τῆς χολέρας οἱ τὸ ἀεὶ προϊστάμενον ἐξαιροῦντες, καὶ πρὶν παντελῶς καθαρθῆναι δευτέραν τροφὴν ἐπεμβαλλόμενοι, πάλιν ἐμοῦσι μετ᾽ ὀδύνης καὶ σπαραγμῶν· οὕτω καὶ οἱ δανειζόμενοι, τόκους ἐκ τόκων μεταλαμβάνοντες, καὶ πρὶν ἐκκαθᾶραι τὰ πρῶτα, δεύτερον ἐπεισάγοντες δάνεισμα, μικρὸν χρόνον τοῖς ἀλλοτρίοις ἐναβρυνόμενοι, ὕστερον καὶ τὰ οἰκεῖα ὠδύραντο. Ἀλλὰ πολλοί, φησί, καὶ ἐκ δανείσματος ἐπλούτησαν. πλείους δέ, οἶμαι, καὶ βρόχων ἥψαντο· σὺ δὲ τοὺς ἀπαγξαμένους οὐκ ἀριθμεῖς, οἳ τὴν ἐπὶ τῇ ἀπαιτήσει αἰσχύνην μὴ φέροντες, τὸν δι᾽ ἀγχόνης θάνατον τοῦ ἐπονειδίστως ζῆν προετίμησαν. Εἶδον ἐγὼ ἐλεεινὸν θέαμα, παῖδας ἐλευθέρους ὑπὲρ χρεῶν πατρικῶν ἑλκομένους εἰς τὸ πρατήριον. Οὐκ ἔχεις καταλιπεῖν χρήματα τοῖς παισί; μὴ προσαφέλῃς καὶ

τὴν

τὴν εὐλύψαν. ἐν τούτῳ διατήρησον αὐτοῖς, τὸ κλῆμα τῆς ἐλευθερίας, τὴν παρακαταθήκην, ἣν παρὰ τῶν γονέων παρέλαβες. οὐδεὶς πενίαν πατρὸς ἐνεκλήθη ποτέ· ὄφλημα δὲ πατρῷον εἰς δεσμωτήριον ἄγει. μὴ καταλίπῃς γραμματεῖον, ὥσπερ ἀρὰν πατρικὴν εἰς παῖδας καταβαίνουσαν καὶ ἐκγόνους. Πλοῦτος γάρ φησιν, ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. θαύμασον τὴν φωνήν, πλοῦτος, φησίν, ἐὰν ῥέῃ· ῥευστὴ ἡ φύσις τοῦ πλούτου, χειμάρρου ὀξύτερον τοὺς ἔχοντας παρατρέχει· ἄλλοτε ἄλλον πέφυκε παραμείβεσθαι, καὶ ὥσπερ ποταμὸς ἀφ' ὑψηλοῦ φερόμενος, ἐγγίζει μὲν τοῖς παρεστῶσι τῇ ὄχθῃ, ὁμοῦ δὲ ἥψατο καὶ εὐθὺς ὑπεχώρησεν· οὕτω καὶ ἡ τοῦ πλούτου εὐκολία, ὀξυτάτην ἔχει καὶ ὀλισθηρὰν τὴν παρουσίαν, καὶ ἄλλους ἐξ ἄλλων παραμείβεσθαι πεφυκυῖαν· σήμερον τοῦδε ὁ ἀγρὸς, καὶ αὔριον ἄλλου, καὶ μετ' ὀλίγον ἄλλου. Ἀπόβλεψον πρὸς τὰς ἐν τῇ

πόλεις, οἰκίας, πόσα ἤδη ἀφ' οὗ γεγόνασιν ὀνόματα μετειλήφασιν, ἄλλοτε ἀπ' ἄλλου τῶν κεκτημένων ὀνομαζόμεναι· καὶ χρυσὸς ἀεὶ τὰς τοῦ ἔχοντος χεῖρας διαρρέων, ἐφ' ἕτερον διαβαίνει, καὶ ἀπ' ἐκείνου πρὸς ἄλλον. μᾶλλον δυνάσαι ὕδωρ τῇ χειρὶ περιλαβὼν κατασχεῖν, ἢ πλοῦτον διαρκῶς σεαυτῷ συντηρῆσαι. Μὴ τοίνυν ζηλώσῃς τὴν ὑπερπλουτούντων τινά, μηδὲ μακαρίσῃς αὐτοῦ τὴν ζωήν· κἂν πολλαχόθεν σοι καὶ ἐξ ἀφθόνων πηγῶν περιρρέῃ τὰ χρήματα, μὴ προσδέξῃ αὐτῶν τὴν περιουσίαν. Οὐκ ἀεὶ δὲ ἐπαινετὴ ἡ πτωχεία, ἀλλ' ἡ ἐκ προαιρέσεως κατὰ τὸν εὐαγγελικὸν σκοπὸν κατορθουμένη. πολλοὶ γὰρ, πτωχοὶ μὲν τῇ περιουσίᾳ, πλεονεκτικώτατοι δὲ τῇ προαιρέσει τυγχάνουσιν, οὓς οὐχ ἡ ἔνδεια σώζει, ἀλλ' ἡ προαίρεσις κατακρίνει. Πλοῦτος δὲ καὶ δόξα, καθὸ μὲν οὐ ποιεῖ τοὺς ἔχοντας ἀγαθούς, οὐκ ἔστι τῶν κατὰ φύσιν ἀγαθῶν· καθὸ δὲ

διάφορά τινα περιέχεται ἡμῶν τὸν βίον, αἱρετώτερά ἐστι τῶν ἐναντίων, πενίας καὶ ἀτιμίας. Ταῦτα μέντοι, τοῖς μὲν οἰκονομίας ἕνεκεν δίδοται παρὰ τοῦ θεοῦ, ὡς τῷ Ἀβραάμ, καὶ τῷ Ἰακώβ, καὶ τοῖς τοιούτοις· τοῖς δὲ φαυλοτέροις πρόσκλησίς ἐστι τοῦ βελτιωθῆναι κατὰ τὸν τρόπον, ὡς ὅγε μετὰ τοσαύτην ἐκ θεοῦ δεξίωσιν ἐπιμένων τῇ ἀδικίᾳ, ἀναντιρρήτως ἑαυτὸν ὑπόδικον τῇ κατακρίσει καθίστησιν. ὁ μέντοι δίκαιος, οὔτε παρόντος ἐπιστρέφεται τοῦ πλούτου, οὔτε μὴ παρόντος ἐπιζητεῖ. οὐ γὰρ ἀπολαυστικός ἐστι τῶν δεδομένων, ἀλλ' οἰκονομικός. οὐδεὶς δὲ τῶν εὖ φρονούντων ἐπιτρέχει τῇ ἀσχολίᾳ τῆς τῶν ἀλλοτρίων διανομῆς, ἐὰν μὴ πρὸς τὴν τῶν πολλῶν ἀποβλέπῃ δόξαν, οἳ θαυμάζουσι καὶ ζηλοῦσι τοὺς ἐν ἐξουσίᾳ τινὶ καθεστῶτας. Εἰ δὲ τοῦ σώματος ὑπερορᾶν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. τί γὰρ ὅτι χρησώμεθα

τοῦ πλούτου, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες, ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μὴ κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονὴν ἵνα φέρῃ θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Τὸ μὲν οὖν προηγούμενόν ἐστιν οὗ μάλιστα προσήκει τὸν χριστιανὸν, γυμνωθῆναι τὰ κατὰ τὴν κακίαν πάθη τὰ ποικίλα τε καὶ διάφορα, δι' ὧν μολύνεται ἡ ψυχή· χρὴ δὲ κατὰ δεύτερον λόγον, καὶ τὴν τῶν ὑπαρχόντων ἀποταγὴν κατορθωθῆναι, τῷ πρὸς τὸν κατὰ θεὸν ὑψηλὸν ἀποβλέποντι βίον, διότι πολὺν περιέχει περισπασμὸν τῇ ψυχῇ ἡ τῶν ὑλικῶν πραγμάτων φροντίς τε καὶ ἐπιμέλεια. ὅταν οὖν πλείους περὶ τὸν αὐτὸν βλέποντες τῆς σωτηρίας σκοπὸν, τὴν μετ' ἀλλήλων ζωὴν καταδέξωνται, χρὴ τοῦτο πρὸ πάντων ἐν αὐτοῖς κρατηθῆναι, τὸ μίαν ἐν πᾶσι καρδίαν εἶναι, καὶ θέλημα ἓν, καὶ μίαν ἐπιθυμίαν, καὶ καθὼς νομοθετεῖ ὁ ἀπόστολος, ἓν γενέσθαι σῶμα, ἐκ

διαφόρων μελῶν συνηθροισμένον. τοῦτο δὲ οὐκ ἔστιν ἄλλως κατορθωθῆναι, εἰ μὴ ἐκεῖνο κρατήσειε, τὸ μὴ ἐπονομάζεσθαί τινι ἀποτεταγμένως, μήτε ἱμάτιον, μήτε σκεῦος, μήτε ἄλλο τι τῶν εἰς τὴν κοινὴν ζωὴν χρησιμευόντων, ἵνα ἕκαστον τούτων τῆς χρείας ᾖ, καὶ μὴ τοῦ κεκτημένου· καὶ ὥσπερ ἀνάρμοστόν ἐστι τῷ μείζονι σώματι τὸ μικρὸν ἱμάτιον, ἢ τῷ μικροτέρῳ τὸ τελειότερον, ἀλλ᾽ ἑκάστῳ τὸ σύμμετρόν ἐστι, καὶ ἐπωφελὲς, καὶ διαρμόσσον· οὕτως καὶ ἐνταῦθα, ἡ κλίνη, τὰ στρώματα, τὸ θερμὸν περιβόλαιον, τὸ ὑπόδημα τοῦ πάνυ χρήζοντος, οὐχὶ τοῦ κεκτημένου εἶναι ὀφείλει. Καὶ καθάπερ τῷ φαρμάκῳ ὁ τραυματισθεὶς, οὐχ ὁ ὑγιαίνων κέχρηται, οὕτω καὶ τῶν πρὸς τὴν ἄνεσιν τοῦ σώματος ἐπινοουμένων, οὐχ ὁ τρυφῶν, ἀλλ᾽ ὁ χρήζων τῆς ἀνέσεως ἀπολαύει δικαίως. ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ
τρὸς ἡμῶν Βασιλείου, λόγ. ϛ.

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ.



ΟΤΑΝ εἰς οἰκίαν ἀνδρὸς ἀπειροκάλου εἰσέλθω, καὶ ἴδω αὐτὴν παντοίοις γεγανυμένην ἄνθεσιν, οἶδα ὅτι τοῦ τῶν οὐδὲν τῶν ὁρωμένων τιμιώτερον κέκτηται· ἀλλὰ τὰ μὲν ἄψυχα καλλωπίζει, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. καίτοι μυρίοι ἐφεστᾶσι τῇ θύρᾳ πτωχοί, πᾶσαν ἐλεεινὴν ἀφιέντες φωνήν· ὁ δὲ ἀποστρέφεται τὴν δόσιν, ἀδύνατον εἶναι λέγων ἐπαρκεῖν τοῖς αἰτοῦσι, καὶ τῇ μὲν γλώσσῃ ἐξόμνυται, ὑπὸ δὲ τῆς χειρὸς ἐλέγχεται. σιωπῶσα γὰρ ἡ χείρ, τὴν ψευδολογίαν κηρύσσει, περιαστραπτομένη ὑπὸ τῆς ἐπὶ τοῦ δακτυλίου σφενδόνης. Αθλιε καὶ ταλαίπωρε, πόσους δύναται εἷς σου δακτύ-

λιος χρεῶν ἀπολῦσαι· πόσους οἴκους καταπίπτοντας ἀνορθῶσαι· μία σου κιβωτὸς τῶν ἱματίων δύναται δῆμον ὁλόκληρον ῥιγοῦντα περιβαλεῖν· ἀλλ' ὑπομένεις ἄπρακτον ἀποπέμψαι τὸν πένητα, μὴ φοβούμενος τὸ δίκαιον τῆς ἀντιδόσεως τοῦ κριτοῦ. οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν, ἀποπεμφθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας τὸν ἄρτον, οὐ λήψῃ τὴν αἰώνιον ζωήν.

Αλλὰ πένητα λέγεις σεαυτόν· κἀγὼ συντίθεμαι. πένης γάρ ἐστιν ὁ πολλῶν ἐνδεής· πολλῶν δὲ ὑμᾶς ἐνδεεῖς ποιεῖ τὸ τῆς ἐπιθυμίας ἀκόρεστον. Τοῖς δέκα ταλάντοις ἄλλα δέκα τάλαντα προστεθηκέναι σπουδάζετε· ἐπειδὰν εἴκοσι γένηται, ἄλλα τοσαῦτα ἐπιζητεῖτε· ἀεὶ δὲ τὸ προστιθέμενον, οὐχὶ τὴν ὁρμὴν ἵστησιν, ἀλλ' ἀναφλέγει τὴν ὄρεξιν.

Ωσπερ γὰρ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι πολλὰ κτησάμενοι, πλειόνων

ἐπιθυμοῦσι, τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες· καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον. οὐ γὰρ εὐφραίνει αὐτοὺς τὰ προσόντα τοσαῦτα ὄντα, ὅσον λυπεῖ τὰ ἐνδέοντα, ἅπερ ἂν αὐτοὺς ἐλλείπειν ὑπολάβωνται. δέον γὰρ αὐτοὺς εὐφραίνεσθαι καὶ χάριν ἔχειν, τοσούτων ὄντας εὐπορωτέρους, οἱ δὲ διαφοροῦσι, καὶ ὀδύρονται, ὅτι ἑνός που ἢ δευτέρου τῶν ὑπερπλουτούντων ἀπολιμπάνονται. Καὶ οὐ τοὺς ὑποδεεστέρους ἀπαριθμούμενοι, τὴν ὑπὲρ ὧν ἔχουσι χάριν ἀποπληροῦσι τῷ εὐεργέτῃ, ἀλλὰ τῇ πρὸς τὸ ὑπερέχον συγκρίσει, ὅσον ἀπολείπονται λογιζόμενοι, ὡς οἰκείων στερούμενοι τῶν ἑτέροις προσόντων, οὕτως ἀνιῶνται καὶ καταμέμφονται. Οἱ γὰρ τῶν ἀναγκαίων ὅρων ἔξω γινόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ κρημνοῦ φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται, ἀλλ' ὅσωπερ ἂν

πλείω προσπεριβάλλωνται, τοῦ ἴσου δέονται, ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι, πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται· ᾧ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον λέγοντι, οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν. Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. Τοῖς δὲ πλεονέκταις, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἐσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ' ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνοντες, ἀεὶ πρὸς τὴν ὑποκειμένην βαθμίδα τὸ ἴχνος αἴροντες, οὐ πρότερον ἀφίστανται, πρὶν ἂν τῆς ἄκρας ἀφί-

κώνται· οὕτω καὶ οὗτοι, ὅταν ἴδωσι τὸν πλούσιον καταλάβωσιν, εὐθὺς τὸν πλουσιώτερον παρισωθῆναι φιλονεικοῦσι, κἂν ἐπ' ἐκεῖνον φθάσωσιν, ἐπὶ τὸν ἄλλον τὴν σπουδὴν μεταφέρουσι, καὶ οὐ παύονται τῆς κατὰ τὴν δυναστείαν ὁρμῆς, ἕως ἂν ὑψωθέντες, ἀπὸ μετεώρου τοῦ πτώματος ἑαυτοὺς καταῤῥήξωσι. Καὶ ὥσπερ οἱ ὑπὸ μανίας παραφοροι, οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται· οὕτως ἡ τοῦ πλεονέκτου ψυχή, τῇ φιλοχρηματίᾳ κατασχεθεῖσα, πάντα χρυσόν, πάντα ἄργυρον βλέπει· ἥδιον ἂν ἴδῃ τὸν χρυσόν, ἢ τὸν ἥλιον· εὔχεται πάντα πρὸς τὴν τοῦ χρυσοῦ φύσιν μεταβληθῆναι, καὶ ἐπινοεῖ μάλιστα καθ' ὅσον οἷόν τε. Ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν οὐ κινεῖ· ὁ σῖτος χρυσὸς αὐτῷ γίνεται, ὁ οἶνος εἰς χρυσὸν μεταπήγνυται· τὰ ἔρια αὐτῷ ἀποχρυσοῦται· πᾶσα ἐμπορεία, πᾶσα ἐπίνοια χρυσὸν αὐτῷ προάγει·

αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ, πολυπλασιαζόμενος ἐν δανείσμασι, καὶ τέλος τῆς ἐπιθυμίας οὐκ ἐξευρίσκεται. Τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῷ περισπουδάστῳ ὑπερεμπίπλασθαι, ὥστε τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀποστροφὴν ἐμποιῆσαι· ὁ δὲ πλεονέκτης, οὐχ οὕτως, ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. Τὸ μὲν πῦρ ἐπειδὰν καταπρήσεως ἅψηται, σπεύδει πᾶσαν ἐπινεμηθῆναι τὴν ὕλην· καὶ οὐδεὶς αὐτῷ ἐνστῆσαι δύναται, πρὶν ἂν ἐπιλείπῃ ἡ ὕλη· τὸν δὲ πλεονέκτην, τί δύναται ἐπισχεῖν; πυρὸς ἐστὶ χαλεπώτερος, πάντα διὰ τῆς συνεχείας νεμόμενος. Ἔλαβε τὰ τοῦ πλησίον, ἄλλος ἀνεφάνη γείτων, καὶ τὰ ἐκείνου ἐξιδιοποιήσατο· οὐ τοῖς κατόπιν προσέχει ὅτι πολλά, ἀλλὰ τοῖς λείπουσιν ὅτι γείτονας κέκτηται. Οὐκ εὐφραίνεται τὰ κτηθέντα, ἀλλὰ λυπεῖ τὰ λειπόμενα· οὐ τῇ ἀπολαύσει τῶν συναχθέντων προσέχει, ἀλλ' ἑαυτὸν

ἐκδαπανῶμαι τῇ ἐπιθυμίᾳ τῆς τοῦ πλείονος κλήσεως. Εἶτα ἀγρυπνίαι ἐντεῦθεν, αἱ μέριμναι, αἱ φροντίδες· τί ποιήσω, καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἄφρον, ἐν ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι παρὰ σοῦ τὴν ψυχήν· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται. μείζων τῆς αἰωνίου κολάσεως, ὁ γέλως τῆς ἀβουλίας. ὁ γὰρ μετ᾽ ὀλίγον διάρπαστος ἄγεσθαι μέλλων, οἷα βουλεύεται; καθελῶ μου τὰς ἀποθήκας. Καλῶς ποιεῖς, φαίην ἂν ἔγωγε πρὸς αὐτόν· ἄξια γὰρ καθαιρέσεως τὰ ταμεῖα τῆς ἀδικίας· κατάσκαπτε ταῖς ἑαυτοῦ χερσὶν, ἃ κακῶς ᾠκοδόμησας. λῦε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών· ἀφάνισον πάντα οἶκον, πλεονεξίας φύλακα· ἀποσκεύασον ὀρόφους, περίελε τοίχους, δεῖξον ἡλίῳ τὸν εὐρωτιῶντα σῖτον· ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον· θριάμβευσον τὰ σκοτεινὰ τοῦ μαμωνᾶ καταγώγια. Καθελῶ

μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς, τί ποτε ἄρα διανοηθήσῃ· ἢ που πάλιν καθαιρήσεις, καὶ πάλιν οἰκοδομήσεις; καὶ τί τούτων ἀνοητότερον, ἀπέραντα μοχθεῖν, οἰκοδομεῖν μετὰ σπουδῆς, καὶ μετὰ σπουδῆς καθαιρεῖν. Κἂν μὲν ἀκούσῃς, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, ἵνα ἔχῃς ἐφόδιον πρὸς τὴν αἰώνιον ἀπόλαυσιν, ἀπέρχῃ λυπούμενος· ἂν δὲ ἀκούσῃς, δὸς χρήματα γυναιξὶ χλιδώσαις, δὸς λιθοξόοις, τέκτοσι, ψηφοθέταις, ζωγράφοις, χαίρεις, ὡς δή τι χρημάτων τιμιώτερον κατακτώμενος. Οὐχ ὁρᾷς τοὺς τοίχους τούτους τοὺς ὑπὸ τοῦ χρόνου καταῤῥυέντας, ὧν τὰ λείψανα, ὥσπερ σκόπελοί τινες, διὰ τῆς πόλεως πάσης ἀνέχουσι; πόσοι ἦσαν κατὰ τὴν πόλιν πένητες τούτων ἐγειρομένων, οἳ διὰ τὴν περὶ ταῦτα σπουδὴν, ὑπὸ τῶν τότε πλουσίων παρεωρῶντο· ποῦ τοίνυν ἡ λαμπρὰ τῶν ἔργων κατασκευή· ποῦ δὲ ὁ

ἐπὶ τῇ τούτων μεγαλουργίᾳ ζηλούμενος. οὐ τὰ μὲν συγκέχυται καὶ ἠφάνισται, ὥσπερ τὰ κατὰ παιδιὰν ἐν ταῖς ψάμμοις ὑπὸ τῶν παίδων φιλοτεχνούμενα· ὁ δὲ ἐν τῷ ᾅδῃ κεῖται, ἐν τῇ σπουδῇ τῶν ματαίων μέγα μελούμενος; μεγάλην ἔχε τὴν ψυχὴν ἄνθρωπε. τοῖχοι δὲ καὶ μικροὶ καὶ μείζονες τὴν αὐτὴν χρείαν πληροῦσι τοῖς ἔχουσιν.

Ἔχεις ἀποθήκας ἐὰν θέλῃς, τὰς κοιλίας τῶν πενήτων. θησαύρισον σεαυτῷ θησαυρὸν ἐν οὐρανῷ· τὰ ἐκεῖ ἀποτιθέμενα οὐ σῆτες μεταβόσκονται, οὐ σηπεδὼν ἐπινέμεται, οὐ λῃσταὶ διακλέπτουσιν. ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις, ὅταν τὰς δευτέρας ἀποθήκας πληρώσω· μακροὺς σεαυτῷ τοὺς χρόνους τῆς ζωῆς ἔπηξας· καὶ σκόπει, μή σε προκαταλάβῃ ὁ κατὰ προθεσμίαν ἐπείγων. οὐ γὰρ ἡ ἐπαγγελία οὐ χρηστότητός ἐστιν, ἀλλὰ πονηρίας ἀπόδειξις. ἐπαγγέλλῃ γὰρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ᾽ ἵνα τὸ παρὸν δια-

χρυσῷ· ἐπεὶ νῦν τί σε κωλύει τὴν μετάδοσιν. οὐ πάρεστιν ὁ ἐνδεής; οὐχὶ πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχὶ ἡ ἐντολὴ τηλαυγής; ὁ πεινῶν τήκεται, ὁ γυμνητεύων πήγνυται, ὁ ἀπαιτούμενος ἀπάγχεται, καὶ σὺ τὴν ἐλεημοσύνην εἰς τὸ αὔριον ἀναβάλλῃ; ἄκουε Σολομῶντος, μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Εἶτα, χρυσὸν μὲν διδοὺς, ἢ ἵππον κτώμενος, οὐκ ἀθυμεῖς· φθαρτὰ δὲ προϊέμενος, καὶ βασιλείαν οὐρανῶν λαμβάνων, δακρύεις, καὶ ἀρνῇ τὸν αἰτοῦντα, καὶ ἀναβάλλεις τὴν δόσιν, μυρίας προφάσεις ἀναλωμάτων ἐπινοῶν. τί ἀποκριθήσῃ τῷ κριτῇ. ὁ τοὺς τοίχους ἀμφιεννὺς, ἄνθρωπον οὐκ ἐνδύεις· ὁ τοὺς ἵππους κοσμῶν, τὸν ἀδελφὸν ἀσχημονοῦντα περιορᾷς· ὁ κατασήπων τὸν σῖτον, τοὺς πεινῶντας οὐ τρέφεις· ὁ τὸν χρυσὸν κατορύσσων, τοῦ ἀγχομένου καταφρονεῖς. Πῶς

σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένη-
τος. ἐκεῖνος περισκεψάμενος τὰ ἔνδον, ὁρᾷ,
ὅτι χρυσὸς μὲν αὐτῷ οὔτε ἔστιν, οὔτε γένηται
πώποτε, σκεύη δὲ καὶ ἐσθὴς τοιαῦτα ὁποῖα ἂν
γένηται πτωχῶν κτήματα, ὀλίγου τὰ πάντα
ὀβολῶν ἄξια. τί οὖν. ἐπὶ τοὺς παῖδας λοι-
πὸν ὁ ἄθλιος ἄγει τὸν ὀφθαλμὸν, ὥστε ἀγα-
γὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑρέσθαι
τοῦ θανάτου παραμυθίαν. Νόησον ἐν-
ταῦθα μάχην ἀνάγκης λιμοῦ καὶ διαθέ-
σεως πατρικῆς. ὁ μὲν τὸν οἴκτιστον θάνατον
ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν
τοῖς τέκνοις πείθουσα. καὶ πολλάκις ὁρμή-
σας, καὶ πολλάκις ἀνακοπεὶς, τελευταῖον
ἐκρατήθη, ὑπὸ τῆς ἀναγκαίας χρείας ἐκ-
βιασθείς. καὶ οἷα βουλεύεται ὁ πατήρ. τίνα
τούτων ἀπεμπωλήσω. τίνα δὲ ἡδέως ὁ σιτο-
πώλης ὄψεται. ἐπὶ τὸν πρεσβύτατον ἔλθω;
ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. ἀλλὰ
τὸν νέον; ἀλλ' ἐλεῶ τὴν ἡλικίαν ἀναισθη-

τοῦσαν

τοσήνδε τῶν συμφορῶν. ἔστω ἐναργεῖς σώζει τῶν γονέων τοὺς χαρακτῆρας, ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. φεῦ τῆς ἀμηχανίας, τίς γένωμαι, τίνι τούτων προσκερύσω, ποίαν θείου ψυχὴν ἀναλάβω, πῶς τῆς φύσεως ἐπιλαθώμεθα· πρὸς τὰς ὄψομαι δαπανωμένους τῷ πάθει. ἐὰν ἔνα προσόρωμαι, ποίοις ὀφθαλμοῖς τοὺς λειπομένους προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν. πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν· πῶς ἐπὶ τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν. Καὶ ὁ μὲν, μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπωλήσων ἔρχεται· σὺ δὲ οὐ κάμπτει τὸ πάθος, οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. ἀλλ᾽ ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ καὶ εἰρωνεύῃ, μακροτέραν αὐτῷ κατασκευάζων τὴν συμφοράν. καὶ ὁ μὲν τὰ σπλάγχνα περιτείνεται τιμὴν

τῶν γραφῶν· σοῦ δὲ οὐ μόνον οὐκ ἀποναρκᾷ ἡ χείρ, ἐκ τῶν τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα· ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος, καὶ ὅπως ἂν πολὺ λαβὼν ἔλαττον δῷς, φιλονεικεῖς, πανταχόθεν βαρύων τὴν συμφορὰν τῷ ἀθλίῳ.

Τὴν σελευκίδα τὸ ὄρνεον, ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀκόρεστον εἶναι, ὁ κτίσης τῶν ὅλων ἐμηχανήσατο· σὺ δὲ ἐπὶ βλάβῃ τῶν πολλῶν, ἀκόρεστον σεαυτοῦ τὴν ψυχὴν κατεσκεύασας. Ἀλληλοφάγοι τῶν ἰχθύων οἱ πλεῖστοι, καὶ ὁ μικρότερος παρ' ἐκείνοις βρῶμά ἐστι τοῦ μείζονος, κἂν ποτε συμβῇ τὸν τοῦ ἐλάττονος κρατήσαντα ἑτέρου γενέσθαι θήραμα, ὑπὸ τὴν μίαν ἄγονται γαστέρα τοῦ τελευταίου. Τί οὖν ἡμεῖς ὦ ἄνθρωποι, ἄλλο τι ποιοῦμεν ἐν τῇ καταδυναστείᾳ τῶν ὑποδεεστέρων· τί διαφέρει τοῦ τελευταίου ἰχθύος, ὁ τῇ λαιμάργῳ φιλοπλουτίᾳ, τοῖς ἀπληρώτοις τῆς πλεονεξίας

αὐτοῦ κόλποις ἀποκρύπτων τοὺς ἀσθενεῖς· ἐκεῖνος εἶχε τὰ τοῦ πένητος, σὺ τοῦτον λαβὼν, μέρος ἐποίησω τῆς περιουσίας ἑαυτοῦ· ἀδίκων ἀδικώτερος ἐφάνης, καὶ πλεονεκτικώτερος πλεονέκτου. Ὅρα μὴ τὸ αὐτό σε πέρας τῶν ἰχθύων ἐκδέξηται, ἄγκιστρόν που, ἢ κύρτος, ἢ δίκτυον. πάντως γὰρ καὶ ἡμεῖς πολλὰ τῶν ἀδίκων διεξελθόντες, τὴν τελευταίαν τιμωρίαν οὐκ ἀποδρασόμεθα.

Ἐκ πλεονεξίας σοι κατέλιπεν ὁ πατὴρ κτήματα; ἀπόδος τῷ ἠδικημένῳ· μὴ ὡς ἰδίων ἀντιποιοῦ, ἀλλοτρίας ἐστὶ κληρονομία. ἀδίκως καταδουλωσάμενος ὁ πατὴρ ἀφῆκέ σοι δοῦλον; δὸς αὐτῷ σὺ τὴν ἐλευθερίαν, ἵνα κἀκείνῳ κουφοτέραν ποιήσῃς τὴν βάσανον, καὶ σεαυτῷ τὴν ἐλευθερίαν παρασκευάσῃς. Μὴ προφασίζου τοὺς παῖδας. παῖδές εἰσι; θησαύρισον αὐτοῖς θησαυρὸν αἰώνιον, κατάλιπε αὐτοῖς μνήμην ἀγαθήν. οὐ πλοῦτον πολύν. πάντας ποίησαι τοῦ παι-

δὸς τοῦ σοῦ πατέρας διὰ τῆς εὐνοίας. ἀνάγκη σέ ποτε ἀπελθεῖν τοῦ βίου, εἶτα τὸν σὸν παῖδα ἐν τῇ ἀφηλικίᾳ καταλείψῃς τὸν προεστώτων δεόμενον. ἐὰν μὲν καλὸς καὶ ἀγαθὸς ᾖς, ἕκαστος τὸ σὸν ἔκγονον, ὥσπερ ἴδιον ἐκθρέψει· μεμνήσεται γὰρ ὅτι καὶ σὺ ὀρφανῶν πατὴρ ἐγένου. ἐὰν δὲ ἐν πονηρίᾳ ζήσας καὶ πολλοὺς λυπήσας, καὶ παντὸς θηρίου χαλεπώτερος γενόμενος τοῖς συντυγχάνουσιν, ὑπεξέλθοις τοῦ βίου, κατέλιπες τὸ σὸν ἔκγονον κοινὸν ἐχθρὸν τῶν ζώντων.

Ὥσπερ γὰρ τέκνον σκορπίου ὁ θεασάμενος, φοβεῖται μή ποτε εἰς ἡλικίαν ἐλθὼν μιμήσηται τὸν πατέρα, οὕτω καὶ τὰ σὰ ἔκγονα, πονηρίας πατρικῆς ἐστὶ κληρονόμα ὑποπτευόμενα, πρὶν εἰς ἡλικίαν ἐλθεῖν, παρὰ πάντων ἐπιβουλευθήσεται. Ὡς γὰρ οἱ ποταμοὶ ἐκ μικρᾶς τῆς πρώτης ἀρχῆς ὁρμηθέντες, εἶτα ταῖς κατ' ὀλίγον προσθήκαις ἀνυπόστατοι λαμβάνοντες τὴν αὔξη-

σι, τῷ βιαίῳ τῆς φορᾶς τὸ ἐνιστάμενον παρασύρουσιν· οὕτω δὴ καὶ οἱ πλούσιοι ἐκ μικρᾶς δυνάμεως προελθόντες, καὶ ἐκ τῶν ἤδη καταδυναστευθέντων, τὴν τοῦ πλεῖον ἀδικεῖν δύναμιν προσλαμβάνοντες τοῖς προηδικημένοις τοὺς λειπομένους καταδουλοῦνται, καὶ γίνεται αὐτοῖς δυνάμεως αὔξησις ἡ περιουσία τῆς πονηρίας, πλείονα λόγον ἑκάστου τῶν ἠδικημένων ἔχοντος μὴ προσπαθεῖν τι κακὸν, ἢ δίκην λαβεῖν παρὰ τῶν φθασάντων. Μὴ τοίνυν ἐπιθυμήσῃς τῆς τοῦ πλησίον χώρας, μὴ αὔλακα αὔλακι προστιθεὶς, κατὰ μικρὸν αὔξανε τὴν γῆν. ὅσον γὰρ πλατύνεις ἐκ τῆς ἀλλοτρίας προσθήκης τὴν γῆν, τοσούτῳ μακροτέραν σοι τὴν ἁμαρτίαν κατασκευάζεις.

Καὶ ἡ μὲν γῆ, ἐνταῦθα παραμένει κατὰ μικρόν σοι προσχωρισθεῖσα, καὶ διὰ τῆς πλεονεξίας γενομένη οὐκ ἔτι σή, ἀλλὰ τοῦ μετά σε· καὶ ἀφίης ἄδικον τῷ διαδεχομέ-

νῷ τὸν βίον· ἡ γῆ ἕστηκεν εἰς τὸν αἰῶνα, ἡ δὲ ἁμαρτία ἀκολουθήσει ὡς σκιὰ πάσῃ ἑπομένῃ ψυχῇ. ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι ἕπεται, οὕτω καὶ ἡ ἁμαρτία τῇ ψυχῇ συμπέφυκεν. Ἄλλως τε ὅσοι μετὰ παρορισμοῦ τοῦ πλησίον, τοὺς ὅρους τῶν οἰκείων κτήσεων ὑπερεξέτειναν, διὰ τὸ ἀπὸ στεναγμοῦ τῶν ἠδικημένων συμπεφορῆσθαι τὰς κτήσεις, ἀλλότριοι τῆς θείας ἀπεδείχθησαν εὐλογίας· ὥστε ἔνθα ζεύγη δέκα βοῶν εἰργάσατο κατὰ τὸν Ἡσαΐαν, μόγις κεράμιον ἓν τρυγηθῆναι· καὶ ἔνθα ἓξ ἀρτάβαι κατεσπάρησαν, τρία μέτρα συνάγεσθαι τὸν καρπόν.

Πονηρὸς ἐν πόλει σύνοικος, πονηρὸς ἐν ἀγροῖς ὁ πλεονέκτης· ἡ θάλασσα οἶδε τὰ ὅρια αὐτῆς, ἡ νὺξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας· ὁ πλεονέκτης δὲ, οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διδαχῆς· ἀλλὰ μιμεῖται τοῦ πυρὸς τὴν βίαν, πάντα ἐπιλαμβάνων, καὶ πάντα ἐπι-

νεμόμενος. Ὅσα ἐπιβλέπει ὁ ὀφθαλμός, τοσούτων ἐπιθυμεῖ ὁ πλεονέκτης· οὐ πληρωθήσεται ὁ ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ οὐ κορεσθήσεται φιλάργυρος τοῦ λαμβάνειν· ὁ ᾅδης οὐκ εἶπεν, ἀρκεῖ, οὐδὲ ὁ πλεονέκτης εἶπέ ποτε, ἀρκεῖ. Τὸ δὲ ἐντεῦθεν κέρδος παγρυπνίαι, μέριμναι, φροντίδες, δικαστὴς προσδοκᾶται, καὶ οὗτος περισκοπεῖ μὴ εἰς δικαστήρια παρασυρῇ· βουλεύεται ἐν νυκτὶ, τίνας τῶν πικρῶν συνηγόρων παρασκευάσει, ἵνα ψευδεῖς μαρτυρίας ἐκμισθώσηται, πῶς ἐκπολυορκήσει τὸν ἐν τῇ ἐρημίᾳ, πῶς καταδυναστεύσει τούτου, καὶ ἐν δικαστηρίῳ τὴν ἀλήθειαν κλέψας, ἀμφοτέρους ἀναλώσει, καὶ τὸν δικαστὴν παραχρυσάμενος, καὶ τὸν ἀδικηθέντα πλεονεκτήσας. Τὸν πλοῦτον, τὸν μὴ δημοσιεύει, τὸν δὲ κατορυγμένον ἔχει, πρὸς ἐλπίδας τὰς ἀδήλους ἀποτιθέμενος, ἐλπίδας τὰς οὐκ ἐλπίδας. εἰ γὰρ πρὸς ἐλπίδας ἦν ἡ ἀπόθεσις, πρὸς τὴν αἰωνίαν ἐλπίδα ἐγένετο ἂν ἡ

παρασκευή· νυνὶ δὲ ὑποκρύπτεις τῇ κλίνῃ τὸν πλοῦτον τὸν ἄδηλον, τὴν ἐπηγγελμένην ζημίαν ἀποστρέφειν οἰόμενος. ἀλλ' εἰ μὲν ἥξει ποτὲ ἡ χρεία, ἄδηλον· ἥξει μέντοι χρεὸς, ἐν ᾧ μεταμεληθήσεται μὴ οἰκονομήσας τὸν πλοῦτον. τοῦτο πρόδηλον, κἀγὼ εἰμὶ ὁ ἐγγυώμενος. Τί ποιεῖς ἄθλιε· τῇ γῇ παραδίδως τὸν θησαυρόν; πότε χρήσῃ τοῖς παροῦσι· πότε ἀπολαύσεις αὐτῶν, ἀεὶ τοῖς πόνοις τῆς κτήσεως συνεχόμενος. οὐ προφασίζῃ μνεία, ἵνα λάβῃς τὰ τοῦ πλησίον; ἐπισκοτεῖ μοι, φησὶ, τοῦ γείτονος ἡ οἰκία· θορύβους ἐνίησιν, ἢ τὸ ἀποπλανώμενον ὑποδέχεται. Εἰ ἐπιθυμεῖς τῆς τοῦ γείτονος οἰκίας, γείτων δέ σοι πάντως οὐ λείψει, ἀνάγκη σε δηλονότι ἐπὶ τὰ ἔσχατα φθάσαι τῆς καθ' ἡμᾶς οἰκουμένης· εἰ δὲ τοῦτο ἀμήχανον, ἀπὸ τῆς πρώτης ἐννοίας παῦσον σεαυτοῦ τὴν πρὸς τὸ κακὸν ὁρμὴν ὦ ἄνθρωπε, ἀρκούμενος οἷς παρέλαβες, ἐπιμένων οἷς ἔχεις,

εἰδὼς ὅτι καὶ μεγέθη οἰκιῶν διὰ τὸ ἐξ ἀδικίας συστῆναι, ἔρημα ἐστὶ τῶν οἰκητόρων· καὶ πλῆθος χώρας ἐκ πλεονεξίας περιβληθὲν, ἄγονον πολλάκις τῶν καρπῶν ἀπεδείχθη. Προλαμβάνει γὰρ πολλάκις τὴν μέλλουσαν κρίσιν ἡ θεία δίκη, καὶ ἤδη τὰς ἀδίκως περιωρισμένας οἰκίας, εἰς χερσὸν περιΐστησιν, ἀπὸ τῆς πολυανθρώπου οἰκήσεως καὶ τῆς λαμπρᾶς εὐθηνίας, ἐρήμους τῶν οἰκητόρων ποιοῦσα. ὁ γὰρ τῶν ἀλλοτρίων ἐρῶν, μετ' οὐ πολὺ θρηνήσει, τῶν ἰδίων ἀποστερούμενος. Τί τὸν Ναυουθαὶ τὸν ἰσραηλίτην ἀπέκτεινεν; οὐχ ἡ τοῦ Χαὰμ ἐπιθυμία τοῦ ἀμπελῶνος; μνήσθητι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ ἀποκαλύπτεται ὀργὴ ἀπ' οὐρανοῦ. μνήσθητι τῆς ἐνδόξου τοῦ Χριστοῦ παρουσίας, ὅτε ἀναστήσονται· οἱ μὲν τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα εἰς ἀνάστασιν κρίσεως· ἐκεῖνα λυπείτω σε, καὶ μὴ λυπείτω σε ἡ τοῦ θεοῦ ἐντολή.

πῶς σε δυσωπήσω, τί φθέγξομαι· βασιλείας οὐκ ἐπιθυμεῖς, γέενναν οὐ φοβῇ, πόθεν εὑρεθῇ ἴασις τῇ ψυχῇ σου. εἰ γὰρ τὰ φρικτὰ οὐ φοβεῖ, τὰ φαιδρὰ οὐ προτρέπεται· λιθίνῃ καρδίᾳ διαλεγόμεθα. Ἐβουλόμην σε μικρὸν ἀναπνεῦσαι τῶν ἔργων τῆς ἀδικίας, ὦ πλεονέκτα, καὶ δοῦναι σχολὴν τοῖς ἑαυτοῦ λογισμοῖς, ὥστε ἐνθυμηθῆναι, πρὸς ποῖον πέρας ἡ σπουδὴ τῶν γινομένων συντέτακται. Ἔχεις γῆς ἀροσίμης πλέθρα τόσα καὶ τόσα, γῆς πεφυτευμένης τοσαῦτα ἕτερα, ὄρη, πεδία, νάπας, ποταμούς, λιβάδας· τί οὖν μετὰ ταῦτα, οὐχὶ τρεῖς σε πήχεις ἀναμένουσιν; οὐχὶ λίθων ὀλίγων βάρος ἀρκέσει πρὸς φυλακὴν τῇ δυστήνῳ σαρκί; ὑπὲρ τίνος ταλαιπωρεῖς· τί συνάγεις χερσὶν ἀκαρπίαν, καὶ ὕλην τῷ αἰωνίῳ πυρί. οὐ νήψεις ποτὲ ἀπὸ τῆς μέθης ταύτης; οὐχ ὑγιανεῖς τοὺς λογισμούς; οὐχ ἑαυτοῦ γενήσῃ; οὐ πρὸ ὀφθαλμῶν λήψῃ τὸ τοῦ Χριστοῦ δι-

καστήριον; ἢ ἀπολογήσῃ, ἐπειδάν σε κύκλῳ περιστάντες οἱ ἠδικημένοι καταβοῶσί σου ἐπὶ τοῦ δικαίου κριτοῦ· τί ποιήσῃς, ποίους συνηγόρους μισθώσῃ, ποίους μάρτυρας παραστήσῃς, πῶς παραπείσῃς τὸν ἀπαραλόγιστον δικαστήν. οὐκ ἔνι ῥήτωρ ἐκεῖ, οὐκ ἔνι πιθανότης ῥημάτων, κλέψαι δυναμένη τοῦ δικαστοῦ τὴν ἀλήθειαν. Οὐκ ἀκολουθοῦσιν οἱ κόλακες, οὐ τὰ χρήματα, οὐχ ὁ ὄγκος τοῦ ἀξιώματος. ἔρημος φίλων, ἔρημος βοηθῶν, ἀσυνηγόρητος, ἀπαραλόγητος κατῃσχυμμένος ἀπολειφθείσῃ, σκυθρωπός, κατηφής, μεμονωμένος, ἀπαρρησίαστος. Ὅπου γὰρ ἂν περιαγάγῃς τὸν ὀφθαλμόν, ἐναργεῖς ὄψει τῶν κακῶν τὰς εἰκόνας, ἔνθεν τοῦ ὀρφανοῦ τὰ δάκρυα, ἐκεῖθεν τῆς χήρας τὸν στεναγμόν· ἑτέρωθεν τοὺς κατακονδυλισθέντας ὑπὸ σοῦ πένητας οὓς κατέξαινες, τοὺς γείτονας οὓς παρώργιζες. πάντα σοι ἐπαναστήσεται, καὶ πονηρὸς χορὸς τῶν κακῶν σου πράξεων

περιστοιχήσεταί σε. οὐκ ἔστιν ἄρνησις ἐκεῖ, ἀλλὰ φράσσεται πᾶν στόμα ἀναίσχυντον. αὐτὰ γὰρ ἑκάστου καταμαρτυρεῖ τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φαινόμενα οἷα ὑφ᾽ ἡμῶν κατεσκεύασται. Φύγωμεν τοιγαροῦν τὸ τῆς πλεονεξίας χαλεπώτατον πάθος, ὅση δύναμις· φύγωμεν, ἵνα καὶ τὰς ἀπειλουμένας ἡμῖν τιμωρίας φύγωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν. ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑτρὸς ἡμῶν Βασιλείου, λόγ. ζ.

ΠΕΡΙ ΑΜΑΡΤΙΑΣ.



ΟΛΥΝ ἀγαπητοὶ
καὶ ποικίλον ἐφ' ἡμέραν ἡμῖν ὁ τῆς ἀληθείας ἐχθρὸς προσάγει.
τὸν πόλεμον· προσάγει δὲ, ὡς ἴστε, ταῖς ἡμετέραις ἐπιθυμίαις καθ' ἡμῶν βέλη ποιούμενος, καὶ παρ' ἡμῶν εἰς τὸ βλάπτειν ἡμᾶς ἀεὶ λαμβάνων ἰσχύν. Καὶ καθάπερ οἱ πονηροὶ καὶ πλεονεκτικοὶ τῶν ἀνθρώπων, οἷς ἔργον μέν ἐστι ἡ προαίρεσις ἐκ τῶν ἀλλοτρίων πλουτεῖν, δύναμις δὲ οὐ πάρεστιν ὥστε μετὰ παρρησίας βιάζεσθαι, ταῖς ὁδοῖς ἐφεδρεύειν εἰώθασι, καὶ εἰ ἴδωσί τι χωρίον περὶ αὐτὰς, ἢ φάραγξι βαθείαις διερρωγὸς, ἢ φυτῶν πυκνότητι σύσκιον, εἰς τοῦτο καταδυόμενοι, καὶ τὸ ἐκ πολλοῦ προόρ-

φιν τῶν ὁδοιπορούντων, τοιούτοις ὑποτεμνόμενοι προκαλύμμασιν, ἀθρόως ἐπιπηδῶσιν αὐτοῖς, ὥστε μὴ δυνηθῆναί τινας τοῖς τοῦ κινδύνου βρόχοις ἰδεῖν, πρὶν εἰς τούτοις ἐμπεσεῖν· οὕτως ὁ δυσμενὴς ἄνωθεν ἡμῖν καὶ πολέμιος διάβολος, ταῖς τῶν κοσμικῶν τέρψεων ὑποτρέχων σκιαῖς, αἳ περὶ τὴν ὁδὸν τοῦ βίου πεφύκασι δῦναι κρύψαι ληστὴν, καὶ τὸν ἐπιβουλεύοντα ποιῆσαι λαθεῖν, ἐντεῦθεν ἀπροόπτως ταῖς τῆς σωτηρίας ὑποσπείρει παγίδας ἡμῖν. Ἀλλ' ὥσπερ οἱ τῶν πόλεων περίβολοι, κύκλῳ πᾶσι περικείμενοι, πανταχόθεν τὰς τῶν πολεμίων προσβολὰς ἀπείργουσιν· οὕτω καὶ ὁ φυλάσσων ἡμᾶς ἄγγελος, καὶ προτειχίζει ἐκ τῶν ἔμπροσθεν, καὶ ὀπισθοφυλακεῖ, καὶ οὐδὲ τὰ ἑκατέρωθεν ἀφύλακτα καταλείπει, ἀλλ' ἀεὶ παρεδρεύει τοῖς πεπιστευκόσιν ἐπὶ τὸν κύριον, ἐὰν μήποτε αὐτὸν ἡμεῖς ἐκ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν. Ὡς γὰρ τὰς με-

λίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἀπελαύνει δυσωδία· οὕτως καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον, ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. Εὐχῆς μὲν οὖν ἄξιον, μὴ προσάψασθαι τοῦ κακοῦ· δεύτερος δὲ πλοῦς, εὐθὺς μετὰ τὴν πεῖραν ὥσπερ ἰοβόλου πληγὴν ἀποφεύγειν. οἶδα γάρ τινας ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας, καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθειαν τοῦ κακοῦ, ταῖς ἁμαρτίαις παραμείναντας. ὥσπερ γὰρ οἱ ἐν βορβόρῳ κυλινδούμενοι χοῖροι, ἀεὶ προσπλάττουσιν ἑαυτοῖς τὸν πηλόν· οὕτως ἔτι καὶ ἐκ τῆς ἡδονῆς αἶσχος καθ' ἑκάστην ἡμέραν προσαναμάσσονται. Ἡ γὰρ ἁμαρτία, ἕως μὲν ὠδίνεται, ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν. Ἕως μὲν οὖν μικρὰ ἁμαρτάνομεν καὶ ὀλίγα, ὥσπερ τὰ φυτὰ ὑπὸ πραείας αὔρας περιδονούμενοι, ἠρέ-

μά πως σαλευόμεθα. ἐπειδὰν δὲ πλείω καὶ μείζονα ἢ τὰ κακά, κατὰ τὴν ἀναλογίαν τῆς τῶν ἁμαρτημάτων αὐξήσεως καὶ ὁ σάλος ἐπιτείνεσθαι πέφυκε· καὶ οἱ μὲν ἐπιπλέον σαλεύονται, οἱ δὲ μέχρι τοῦ καὶ αὐτόρριζοι ἀνατραπέντες καταβληθῶσι, ὅταν λαίλαπος πάσης βιαιότερον τὰ πνευματικὰ τῆς πονηρίας, τὰς οἱονεὶ ῥίζας τῆς ψυχῆς, αἷς ἐπεστήρικτο τῇ πίστει τῇ κατὰ θεόν, ἀποῤῥήξῃ.

Τῷ μὲν γὰρ ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι, κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ, οὐδεμία παραίτησις, ὃ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν.

Καὶ γὰρ τῶν ἁμαρτανομένων, τὰ μὲν ἀκούσιά ἐστι, τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς ἁμαρτάνεται· ἀλλ᾽ ὡς οὖν τὰ ἀκούσια τυγχάνει συγγνώμης, καὶ ἀλλ᾽ ὡς τὰ ἐκ μοχθηρᾶς προαιρέσεως κατακρίνεται. Ὁ μὲν γάρ τις ἥμαρτε, πονηρῶς ὢν ἐξ ἀρχῆς πεπραμμένος·

ἐγὼ

καὶ γὰρ καὶ ὑπὸ γονέων ἀδίκων εἰς τὸν βίον παρήχθη, καὶ συνετράφη ῥήμασι καὶ πράξεσι παρανόμοις· ἄλλος δὲ πολλὰ ἔχων τὰ παρακαλοῦντα αὐτὸν εἰς ἀρετήν, ἀναστροφὴν σεμνοτάτην, νουθέτησιν γονέων, ἀκρίβειαν, ἀκρόασιν λόγων θειοτέρων, δίαιταν κατεσταλμένην, τἆλλα οἷς ψυχὴ παιδαγωγεῖται πρὸς ἀρετήν, εἶτα καὶ αὐτὸς εἰς τὴν αὐτὴν ἁμαρτίαν ὑπώλισθε· πῶς οὖν οὐχὶ βαρυτέρας δικαίως ὁ τοιοῦτος τῆς τιμωρίας ἀξιωθήσεται. ὁ μὲν γὰρ ἐπὶ μόναις ταῖς κατεσπαρμέναις ἐν ταῖς ἐννοίαις ἡμῶν σωτηρίοις ἀφορμαῖς ἐγκληθήσεται, ὡς οὐ χρησάμενος αὐταῖς ὑγιῶς· ὁ δὲ πρὸς τούτῳ, καὶ ὡς προδεδωκὼς πᾶσαν τὴν δεδομένην αὐτῷ συνεργίαν, καὶ δι᾽ ἀπροσεξίαν εἰς τὸν πονηρὸν βίον κατασυρείς. Ποῖα οὖν τῶν ἁμαρτημάτων συγγνώμην ἔχειν δύναται παρὰ θεῷ· πόσα δὲ καὶ πηλίκα ἁμαρτήσας τις, ὑπεύθυνος γίνεται τῷ κρίματι τῆς ἀπειθείας.

οὔτε ἐν τῷ πλήθει τῶν ἁμαρτανομένων, οὔτε ἐν τῷ μεγέθει τῶν ἁμαρτημάτων· ἐν μόνῃ δὲ τῇ παραβάσει οὑτινοσοῦν προστάγματος σαφῶς κρινομένην τὴν πρὸς θεὸν ἀπείθειαν. Καὶ κοινὸν κατὰ πάσης παραβάσεως τὸ θεοῦ τὸ κρίμα εὑρίσκομεν, τὰς θείας ἀναλαβόντες γραφάς· ἐν μὲν τῇ παλαιᾷ, τὸ φοβερὸν ἐκεῖνο τοῦ Ἀχαρ ἀναγινώσκοντες τέλος, ἢ τὴν κατὰ τὸν ἐν σαββάτῳ ξύλα ἀναλέξαντα ἱστορίαν, ὧν ἑκάτερος οὐδὲν οὐδέποτε ἄλλο, οὐκ εἰς θεὸν ἡμαρτηκὼς, οὐκ ἀνθρώπον ἠδικηκὼς, οὐ μέγα, οὐ μικρὸν ὅλως εὑρίσκεται· ἀλλ᾽ ὁ μὲν ἐπὶ μόνῃ καὶ πρώτῃ τῶν ξύλων συλλογῇ, ἀπαραίτητον δίδωσι δίκην, οὐδὲ μετανοίας τόπον εὑρὼν· προστάγματι γὰρ θεοῦ, παρὰ παντὸς τοῦ λαοῦ παραχρῆμα λιθοβολεῖται· ὁ δὲ, ὅτι μόνον ὑφείλετό τι τῶν ἀναθημάτων, οὔπω δὲ εἰσενεχθέντων εἰς τὴν συναγωγὴν, οὐδὲ προσδεχθέντων ὑπὸ τῶν ἐπιτεταγμένων ταῦτ-

αὐτὰ, αἴτιος ἀπωλείας οὐκ ἑαυτῷ μόνῳ, ἀλλὰ καὶ γαμετῇ καὶ τέκνοις, πρὸς δὲ καὶ αὐτῇ τῇ σκηνῇ, σύμπασι τοῖς ἰδίοις ἐγένετο· ἔμελλε γὰρ ἤδη θᾶττον καὶ τὸν λαὸν ἅπαντα, πυρὸς τρόπον ἐπινέμεσθαι τῆς ἁμαρτίας τὸ κακόν, καὶ ταῦτα, οὔτε εἰδότα τὸ γεγονός, οὔτε συνεγνωκότα τῷ ἁμαρτήσαντι, εἰ μὴ ταχέως ἐκ τῆς πλώσεως αὐτῶν ἀναιρεθέντων ἀνδρῶν, συνελέβη μὲν ὁ λαὸς αἰσθόμενος τῆς ὀργῆς τοῦ θεοῦ, ἔπεσε δὲ ἅμα τοῖς πρεσβυτέροις καταπασάμενος χοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οὕτως διὰ κλήρου φωραθεὶς ὁ ἔνοχος τὴν εἰρημένην δέδωκε δίκην. Τί δὲ Μαρία ἡ ἀδελφὴ Μωϋσέως· αὕτη κατὰ Μωσέως ἐπειδὴ εἶπέ τι μόνον ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθές· γυναῖκα γάρ φησιν, αἰθιόπισσαν ἔλαβεν ἑαυτῷ· τοσαύτης ἐπειράθη τῆς τοῦ θεοῦ ἀγανακτήσεως, ὡς μηδὲ αὐτοῦ τοῦ Μωσέως ἱκετεύοντος συγχωρηθῆναι αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον.

Καὶ τί δεῖ περὶ τούτων λέγειν, αὐτὸν τοῦτον ἀφέντας Μωϋσέα τὸν τοῦ θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης ἀξιωθέντα παρ' αὐτοῦ τιμῆς, οὕτως δὲ ἀπ' αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦσαι, οἶδά σε παρὰ πάντας, καὶ εὕρηκας χάριν ἐνώπιόν μου. οὗτος γὰρ ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι διὰ ἀπορίαν ὕδατος, μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξω ὑμῖν ὕδωρ; τούτου μόνου ἕνεκεν, εὐθὺς ἀπειλὴν παρὰ τοῦ θεοῦ δέχεται, εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον. Ὅταν οὖν ἴδω τοῦτον παρακαλοῦντα, καὶ μὴ συγχωρούμενον· ὅταν ἴδω μηδεμιᾶς συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα ἐπὶ τῷ βραχεῖ ἐκείνῳ καταξιούμενον ῥήματι, οὐχὶ ὄντως ἐρῶ θεοῦ ἀποτομίαν κατὰ τὸν ἀπόστολον; οὐχὶ κἀκεῖνο ἀλη-

-θὲς εἶναι πειθήσομαι, τὸ, εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; Καὶ τί ταῦτα λέγω, Ἡλεὶ ὁ ἱερεὺς ὑπὲρ τοῦ ἰδίου βίου μηδὲν ἐγκαλούμενος, ὅτι μὴ τοῖς υἱοῖς ἐπεξῆλθε σφοδρότερον, τοιαύτην ἐκίνησεν ὀργὴν τῇ μακροθυμίᾳ τοῦ θεοῦ, ὥστε ἐπιθυμασάντων τῶν ἀλλοφύλων, τοὺς μὲν υἱοὺς αὐτοῦ ἐκείνους ἀναιρεθῆναι κατὰ τὸν πόλεμον ἐν μιᾷ ἡμέρᾳ, ἡττηθῆναι δὲ σύμπαντα τὸν λαὸν, καὶ τούτων πεσεῖν ἰχθυούς· γενέσθαι δὲ καὶ περὶ τὴν κιβωτὸν τῆς ἁγίας τοῦ θεοῦ διαθήκης, ἃ μήτε ἠκούσθη ποτὲ πρότερον, ὥστε, ἧς οὔτε ἰσραηλίταις, οὔτε μὴν αὐτοῖς τοῖς ἱερεῦσιν ἅπασιν οὐδέποτε ἅπτεσθαι θεμιτὸν ἦν, οὐδὲ τὸ πρὸς αὐτὴν ὁ τυχὼν ὑπεδέχετο, ταύτην ὑπὸ χειρῶν ἀσεβῶν δήποτε ἀλλαχόθεν μετακομίζεσθαι· καὶ ἀντὶ τῶν ἁγίων, εἰδωλωνναοῖς ἀποτίθεται, ἐφ' οἷς πότον τινὰ συνέβαινεν εἶναι, καὶ κατ' αὐτοῦ τοῦ ὀνόματος

τοῦ θεοῦ γέλωτα καὶ χλεύην παρὰ τοῖς ἀλλοφύλοις σχολάζεσθαι παρέσειν. Ἐπὶ τούτοις καὶ αὐτὸς ὁ Ἡλεὶ, τέλει χρησάμενος οἰκτροτάτῳ, ἀπειλὴν ἐδέξατο τοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἀποκινηθήσεσθαι τοῦ ἱερατικοῦ ἀξιώματος· ὅπερ καὶ γέγονε, καίτοι, τοῦ μὲν ἰδίου βίου ἕνεκεν οὐδὲν ἠτιάθη ὁ πρεσβύτης ποτέ· καὶ αὐτοῖς δὲ τοῖς υἱοῖς, οὐχ ὑπέμεινεν ἐφησυχάσαι, ἀλλὰ πολλὰ μὲν παρῄνει, περὶ τοῦ μηκέτι τοῖς ὁμοίοις ἐμμένειν, μὴ τέκνα, λέγων, μὴ, οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ ἃς ἐγὼ ἀκούω περὶ ὑμῶν· ὅμως ἐπειδήπερ οὐχὶ τὸν πρέποντα ζῆλον κατ' αὐτῶν ἐπεδείξατο, ἑαυτῷ τε κἀκείνοις, καὶ τῷ λαῷ, τοσαύτην τὴν τοῦ θεοῦ ἀνῆψεν ὀργήν. Καίτοι ἔοικεν, ὁ μὲν ἔλεγχος, τέλος ἔχειν τὴν διόρθωσιν τοῦ ἁμαρτάνοντος· ὁ δὲ ὀνειδισμὸς, τὴν ἀσχημοσύνην τοῦ ἐπταικότος γίνεσθαι. Εἰ γὰρ καὶ τὰ πλεῖστα κατωρθωκέναι δοκεῖ τις, ὀλίγων δέ που, ἢ καὶ μιᾶς ἡστινοσοῦν ἐντο-

λῆς ἀμελήσῃ, ἢ ὧν πλημμελήσαντι ἀδιαφόρως ἐφησυχάσῃ, καὶ μὴ ζῆλον ἀγαθὸν κατὰ τὸ κρίμα τοῦ θεοῦ ἐπιδείξεται, ὅτι ταύτῃ μόνῃ δικαίως ὑφέξῃ, κἂν ἐξ ἀγνοίας πάθῃ τι τοιοῦτον, οὐδὲ οὕτως ἀτιμώρητος διαφύγῃ. Τοιαῦτα μὲν οὖν ὅτι πλεῖστα κατὰ τὴν παλαιὰν διαθήκην εὑρίσκομεν κατὰ πάσης παραβάσεως τὰ κρίματα· οὐχ ἧττον δὲ τούτων ἐν τῇ καινῇ ἐρχόμενος, ἀλλὰ καὶ πολλῷ πλείω καταμανθάνω τοῦ κρίματος τὴν σφοδρότητα, οἷον, ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· καὶ ὅλως οὐκ ἀπολύσαντος μὲν τοῦ Χριστοῦ, οὔτε τὸν κατ᾽ ἄγνοιαν ἡμαρτηκότα τῆς τιμωρίας, σφοδρότερον δὲ κατὰ τὴν ἐν γνώσει τὴν ἀπειλὴν ἐπιτείναντος· καὶ πάλιν, ὁ οὐρανὸς, φησί, καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι· καὶ ὁ μακάριος ἀπόστολος Παῦ-

λός φησι, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· πᾶν ὕψωμα καὶ πᾶν νόημα, οὐχὶ τοῦτο, ἢ ἐκεῖνο· καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν· καὶ ἀλλαχοῦ πάλιν, οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσίν· καὶ πάλιν, ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις· ὥστε οὐδὲν ἀνεκδίκητον ἀφίεται παρὰ τῷ θεῷ. εἰ δὲ ταῦτα λόγοι μόνον, καὶ οὐ πράγματα, ἰδοὺ ὁ τὴν γυναῖκα τοῦ πατρὸς ἐν Κορίνθῳ ἔχων, οὐδὲν ἕτερον ἐγκληθεὶς, ἐπὶ τούτῳ μόνῳ, οὐ μόνον αὐτὸς παραδίδοται τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἄχρις ἂν τοῖς ἀξίοις καρποῖς τῆς μετανοίας διορθώσηται τὸ πλημμέλημα, ἀλλὰ καὶ πᾶσα ὁμοῦ ἡ ἐκκλησία, ἐπεὶ μὴ ἐπεξῆλθε τῷ ἁμαρτήματι, ἐκείνοις περιβάλλεται τοῖς ἐγκλήμασι.

Τί δὲ Ἀνανίας ὁ ἐν ταῖς πράξεσι, τί ἄλλο κακὸν πεποιηκὼς εὑρίσκεται, ἢ ἐκεῖνο αὐτό. ποῦ γοῦν τοσαύτης ὀργῆς ἄξιον φαίνεται· ἴδιον κτῆμα πωλήσας, ἤνεγκε τὰ χρήματα θεῖναι παρὰ τοὺς πόδας τῶν ἀποστόλων, νοσφισάμενος ἀπὸ τῆς τιμῆς, καὶ ἐπὶ τούτῳ παρ' αὐτὴν τὴν ὥραν, ἅμα τῇ γυναικὶ θανάτῳ καταδικάζεται, οὐδὲ τοὺς περὶ μετανοίας λόγους ἐπὶ τῷ ἁμαρτήματι μαθεῖν καταξιωθείς, οὐ τοῦ κατανυγῆναι γοῦν ἐπὶ τούτῳ καιρὸν εὑρών, οὐ τοῦ μετανοῆσαι προθεσμίαν λαβών. Ὁ δὲ τοῦ τοιούτου καὶ ἡλικούτου κρίματος ὑπηρέτης, ὁ μακάριος Πέτρος, ὁ πάντων μὲν τῶν μαθητῶν προκριθείς, μόνος δὲ πλείω τῶν ἄλλων μαρτυρηθεὶς καὶ μακαρισθείς, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστευθείς, ὅταν ἀκούσῃ παρὰ τοῦ κυρίου, ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ποίαν ἄρα καὶ τὴν ὁπωσοῦν λιθίνην καρδίαν οὐ δυσωπήσει

πρὸς φόβον τῶν τοῦ θεοῦ κατορθωμάτων· καὶ ταῦτα, οὐδὲ μιᾶς μὲν ἁμαρτίας, οὐδὲ μιᾶς καταφρονήσεως ἔμφασιν δοὺς, τιμῆς δὲ μᾶλλον τῆς περὶ τὸν δεσπότην χρησάμενος, καὶ τὴν προσήκουσαν δούλῳ καὶ μαθητῇ εὐλάβειαν ἐπιδειξάμενος. Ἰδὼν γὰρ τὸν ἑαυτοῦ καὶ πάντων κύριον, καὶ θεὸν, καὶ βασιλέα, καὶ σωτῆρα, καὶ ὁμοῦ τὰ πάντα, ἐν ὑπηρέτου σχήματι διαζωσάμενον τὸ λέντιον, καὶ νίπτειν τοὺς πόδας αὐτοῦ βουλόμενον, εὐθὺς ὥσπερ εἰς συναίσθησιν ἐλθὼν τῆς οἰκείας ἀναξιότητος, καὶ τὸ ἀξίωμα τοῦ προσερχομένου καταπλαγεὶς, ἐξεβόησε, κύριε σύ μου νίπτεις τοὺς πόδας; καὶ πάλιν, οὐ μή μου νίψης τοὺς πόδας εἰς τὸν αἰῶνα, ἐπὶ τούτῳ τὴν τοσαύτην ἐκδέχεται ἀπειλὴν, ὡς εἰ μὴ ἔφθασε τῇ ταχυτῆτι καὶ σφοδρότητι τῆς ὑπακοῆς διορθωσάμενος τὴν ἀντιλογίαν, οὐδὲν ἂν αὐτῷ τῶν παρὰ τοῦ κυρίου μακαρισμῶν τε, καὶ δωρεῶν, καὶ ἐπαγγελιῶν· οὐδὲ ἂν

τῇ αὐτοῦ θεοῦ καὶ πατρὸς τῆς τοιαύτης καὶ τοσαύτης εἰς τὸν μονογενῆ υἱὸν εὐδοκίας ἀποκάλυψις ἤρκεσε παραμυθήσασθαι τὴν παρέδοσιν ἀπειθῶν. Ἀλλὰ ταῦτα μὲν ἐγὼ θέλω καταλέγειν, ὅσα εὑρίσκω ἔκ τε τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, ἐπιλείψει με τάχα διηγούμενον ὁ χρόνος· πλὴν ἐκεῖνο μόνον πρὸς τὸ παρὸν μνημονεῦσαι ἀναγκαῖον, τὸ ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ, πρὸς τοὺς ἐξ ἀριστερῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἱσταμένους λεχθὲν παρ' αὐτοῦ, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οὐχ ὅτι ἐφονεύσατε, ἢ ἐπορνεύσατε, ἢ ἐψεύσασθε, ἢ τινα ἠδικήσατε, ἢ ἄλλο τι τῶν ἀπηγορευμένων κἂν τὸ βραχύτατον γοῦν ἐπράξατε, ἀλλ' ὅτι τῶν ἀγαθῶν ἔργων ἠμελήσατε· ἐπείνασα γάρ φησι, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ἀσθενὴς

καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.

Ὁ τοίνυν μὴ ἐκθηλυνόμενος, μηδὲ καταμαλθακιζόμενος ὑπὸ τῆς ἐγκρατείας, πᾶσαν φυγὴν ἁμαρτημάτων κατόρθωσιν. εἰ δὲ τὰ μὲν πλεῖστα ἔφυγεν, ὑφ' ἑνὸς δὲ κρατεῖται, οὐκ ἐγκρατὴς ὁ τοιοῦτος, ὡς οὔτε ὑγιὴς ὁ ἑνὶ σωματικῷ πάθει παρενοχλούμενος, οὔτε ἐλεύθερος ὁ ὑφ' ἑνὸς καὶ τοῦ τυχόντος κυριευόμενος. Τοῖς μὲν οὖν ἰάσιμα ἁμαρτάνουσιν ἀπειλεῖ ὁ λόγος ἐπισκέπτεσθαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν. τοῖς δὲ ἀνιάτως ἔχουσι λέγει, τί ἔτι πληγεῖτε πάσας διεξεληλυθότες τὰς πληγάς· πασῶν καταφρονήσατε τῶν ἐπιστρεπτικῶν μαστίγων, συντετριμμὸς ὑμᾶς μένει. τῶν δὲ περιστατικῶς συμβαινόντων, τινὰ μὲν ἁμαρτημάτων ἕνεκα γίνεται· τινὰ δὲ, εἰς διόρθωσιν τοῦ ἤθους τῶν πειραζομένων· ἄλλα δὲ, ὑπὲρ τοῦ ἐκπλῆξαι τοὺς ἀπεγνωσμένους, ὡς ἐπὶ τοῦ Φαραώ.

τούτοις γὰρ οὐκ ἔτι πληγαί, οὐδὲ μάστιγες, ἀλλ' ἀφανισμὸς ἀπειλεῖται. Τί ἔτι πληγεῖτε, ὧν καὶ τὰ σώματα καὶ αἱ ψυχαὶ μεμαστίγωνται, καὶ οὐδαμοῦ ἡ διόρθωσις. Ἔστι δὲ πολλάκις καὶ ἡ νόσος ὠφέλιμος, ὅταν παιδαγωγεῖν μέλλῃ τὸν ἁμαρτάνοντα· καὶ ἡ ὑγεία βλαβερά, ὅταν ἐφόδιον γίνηται πρὸς ἁμαρτίαν τοῖς ἔχουσι. οὕτως καὶ τὰ χρήματα ἤδη τισὶν ὑπηρεσία πρὸς ἀκολασίαν ἐγένετο, καὶ πενία πολλοὺς ἐσωφρόνισε τῶν ὡρμημένων κακῶς. μήτε οὖν φύγῃς ἃ μὴ δεῖ, μήτε προσφύγῃς οἷς μὴ δεῖ· ἀλλ' ἐν σοὶ φοβερὸν ἤτω ἡ ἁμαρτία, καὶ μία καταφυγὴ ἐκ τῶν κακῶν ὁ θεός. Οἱ μέντοι πολλοὶ τῶν ἀνθρώπων καὶ λήθην ποιοῦνται τῶν προτέρων ἁμαρτημάτων, ἀδιαφοροῦντες ἐπ' αὐτοῖς καὶ καταφρονοῦντες, ὡς μηδεμιᾶς ἐκδικήσεως γενησομένης· ὁ δὲ τὸ δικαστήριον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν διὰ παντὸς ἔχων, καὶ πεπεισμένος ὅτι πάντες παραστησόμεθα

τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον, ἐν ἀγωνίᾳ καθέστηκε πάντοτε, καὶ τὴν ἀλγηδόνα τῇ ἑαυτοῦ ψυχῇ ταύτην ἰᾶσθαι φροντίζων, αὐτὸς ἑαυτοῦ κατηγορεῖ διὰ τῶν πρὸς τὸν θεὸν ἐξομολογήσεων κατὰ τὸν λέγοντα, ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Πολλοὶ δὲ καὶ ἐπιστρέψαντες ἀπὸ πονηρῶν ἔργων, οἱονεὶ τὰς μνήμας τῶν παλαιῶν ἔργων παρακατέχοντες, δι' αὐτῶν πολλάκις ἀναρεοῦνται τὴν ἡσυχάζουσαν ἁμαρτίαν. Κακία γὰρ σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ. Ἡ δὲ ἄνεσις τῶν ἁμαρτωλῶν, κατὰ ἐγκατάλειψιν γίνεται. ἂν μὴ γὰρ προσθῆται, ὁ λόγος φησίν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω. ἂν δ' ἂν παντελῶς ἀπογνῷ, τούτους αἱρέτους ἀφίησι ποιεῖν τὰ θελήματα τῆς σαρκὸς, καὶ τῶν διανοιῶν αὐτῶν, ὡς τῆς παιδευτικῆς

ἀνωφελεῖς αὐτοῖς ἐσομένης. Καὶ γὰρ ἐπεὶ ὑπὲρ τραῦμα καὶ μώλωπα καὶ πληγὴν φλεγμαίνουσαν ἡ ἁμαρτία ἐστὶν, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι ὡς πρὸς τὴν πληγὴν, οὐδὲ ἔλαιον πρὸς τὰ τραύματα, οὐδὲ χρεία τῆς ἀπὸ τούτων βοηθείας· μείζονα γάρ φησι, τὰ συμπτώματα, ἢ ὥστε τούτοις ἐνδοῦναι. Καὶ ἐπεὶ μὴ ὅλον τὸ ἔθνος ἁμαρτωλὸν, καὶ πᾶς ὁ λαὸς πλήρης ἀνομιῶν, διὰ τοῦτο καὶ ἡ κόλασις ἐπὶ πάντας πολλάκις ἔφθασε, καὶ πᾶσα καρδία λυπηρὰ γέγονεν εἰς αἰχμαλωσίαν ἀγομένου τοῦ λαοῦ διὰ τὰ ἁμαρτήματα. Ωσπερ οὖν τῆς τομῆς, ἢ τοῦ καυτῆρος, οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος· οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοὶ ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν θεὸν ἁπάσης μέμψεως ἀπολύουσιν. Ερχεται γὰρ καὶ δι' ὀλίγους κακὰ, καὶ μοιχείας τινὸς παραπήλαυσε δῆμος. Αχαρ ἱεροσύλησε, καὶ

ὅλη ἡ παράταξις ἐμαστίζετο· ὁ Ζαμβρὶ πάλιν εἰς τὰς μαδιανίτιδας ἐξεπόρνευε, καὶ ὁ Ἰσραὴλ ἔπιπτεν εἰς δίκην. Καὶ καθάπερ ὁ λοιμὸς, ἐπειδὰν ἑνὸς ἀνθρώπου ἢ κτήνους ἅψηται, καὶ κατὰ διάδοσιν ἐπὶ πάντας τοὺς ἐγγίζοντας διανέμεσθαι πέφυκεν· οὕτως δὲ οἱ ἐργάται τῆς ἀνομίας, ὃ ἴδιον κακὸν ἐπὶ πάντας ἄγειν φιλονεικοῦσι, πολλοὺς ἑαυτοῖς παραπλησίους γενέσθαι φιλοτιμούμενοι, ἵνα ἐν τῇ κοινωνίᾳ τῶν κακῶν διαφεύγωσι τὰ ὀνείδη, καὶ ἄλλος ἄλλῳ τῆς νόσου μεταδιδόντες, συννοσοῦσιν ἀλλήλοις καὶ συναπόλλυνται. Οὔτε γὰρ πῦρ εὐκαταπρήστου ὕλης ἁψάμενον, δυνατὸν μὴ οὐχὶ ἐπὶ πᾶσαν αὐτὴν διαβῆναι, ἄλλως τε κἂν ἐπιτύχῃ πνεύματος ἐπιφόρου τὴν φλόγα διακομίζοντος· οὔτε τὴν ἁμαρτίαν ἑνὸς ἁψαμένην, μὴ οὐχὶ πάντας τοὺς ἐγγίζοντας διελθεῖν, ἐξαπτόντων αὐτὴν τῶν πνευμάτων τῆς πονηρίας. Αἱ μὲν γὰρ διὰ τοῦ

σώματος

σώματος πράξεις καὶ χρόνου δέονται, καὶ εὐκαιρίας, καὶ καμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς χορηγίας· αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται, ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καί που τις τῶν σοβαρῶν καὶ κατεσφρυωμένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἐπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι, εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν οὐκ εὐπρεπῆ· καὶ ὅλως ἐν τῷ κρυφίῳ τῆς καρδίας ἐργαστηρίῳ ἐναργῆ τὴν ἡδονὴν ἑαυτῷ ζωγραφήσας, ἀμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο. Τὸ γὰρ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν· διότι αἱ μὲν τοῦ σώματος πράξεις, ὑπὸ πολ-

λαὶν διακόπτονται· ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων, τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν. Ὡς γὰρ ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τὰς πράξεις ἐξεικονίζουσαι. Τελεία μὲν οὖν κακία, ὅτε καὶ γνώμῃ καὶ πράξεσιν ἁμαρτάνεται· ἥμισυ δὲ τοῦ κακοῦ, ἐπὶ τῆς ὁρμῆς τῆς κατὰ διάνοιαν εἶναι τὴν ἁμαρτίαν. οὐ πάντη οὖν ἀτιμώρητος ὁ κατὰ διάνοιαν ἁμαρτάνων, ἀλλ' ὅσον ἐλλείπει τοῦ κακοῦ, τοσοῦτον αὐτῷ τῶν πόνων ὑφαιρεθήσεται. Τὸν μέντοι παραδεχθέντα εἰς τὴν ἀδελφότητα, εἶτα τὴν ὁμολογίαν ἀθετήσαντα, οὕτω χρὴ ὁρᾶσθαι ὡς εἰς θεὸν ἐξαμαρτόντα, ἐφ' οὗ καὶ εἰς ὃν τὴν ὁμολογίαν τῶν συνθηκῶν κατέθετο· ἐὰν δὲ εἰς θεὸν ἁμαρτήσῃ τις, φησί, καὶ τίς προσεύξεται περὶ αὐτοῦ. Ὁ γὰρ ἀναθεὶς ἑαυτὸν τῷ θεῷ, εἶτα πρὸς ἄλλον βίον ἀποπηδήσας, ἱερόσυλος γέγονεν, αὐτὸς ἑαυτὸν

διακλέψας καὶ ἀφελόμενος τὸ τοῦ θεοῦ αἰδάδημα· οἷς εὔλογόν ἐστι μηκέτι θύραν τὴν ἀδελφῶν αἰοίγεσθαι, μηδὲ εἰ κατὰ ψιλὴν πρόσοδον, σκέπης ἕνεκεν, ἐπιδημήσωσιν. ὁ γὰρ ἀποστολικὸς κανὼν, φανερῶς κελεύει ἡμᾶς στέλλεσθαι ἀπὸ παντὸς ἀτάκτου, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ. Οὕτω γὰρ καὶ τὸ ῥόδον αὐτὸ ἀκανθῆς ὂν τὴν ἀρχὴν βλαστηθὲν, ὑπὸ δὲ τῷ κάλλει τοῦ ἄνθους ἡ ἄκανθα παρεζεύχθη, ἵνα τῷ τερπνῷ τῆς ἀπολαύσεως, εὐθὺς ἔχωμεν παρακειμένην τὴν λύπην, μεμνημένοι τῆς ἁμαρτίας δι' ἣν ἀκάνθας καὶ τριβόλους ἡμῖν ἡ γῆ ἀνατέλλειν κατεδικάσθη. Ἀλλ' ἡ τῶν παθῶν κακία, διὰ τῆς περὶ θεοῦ ἀγνωσίας, ἀδόκιμον γνῶσιν ἐντίθησιν. Ὁ μὲν γὰρ μέγας ἀθλητὴς Ἰὼβ, παντοίους ὑπομείνας πειρασμοὺς, οὐκ ἠγνόει ὁπόθεν αὐτῷ ταῦτ' ἐγένετο· διὸ ἔλεγε, βέλη γὰρ κυρίου ἐν τῷ σώματί μου ἐστὶν, ὧν ὁ θυμὸς ἐκπίνει μου τὸ

αἵματι· ὁ δὲ Δαβὶδ ἐπειδὴ περὶ τὴν ψυχὴν αὐτὴν ἐνενοσήκει, αὐτὸς ἑαυτὸν ἐτιμωρεῖτο, παντοίαις ὑποβάλλων κολάσεσιν ἐν τοῖς τῆς ἐξομολογήσεως τρόποις. ὅτι γὰρ τὰ βέλη σου ἐνεπάγησάν μοι, φησὶ, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου, οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. καί μοι δοκεῖ τὰ ἐνταῦθα λεγόμενα βέλη, λογικὰ εἶναι, μᾶλλον δὲ αὐτοὺς τοὺς τοῦ θεοῦ λόγους, νύξαντας καὶ διαπεπαρκότας αὐτοῦ τὴν ψυχὴν, καὶ τὴν συνείδησιν αὐτοῦ διαμαρτυρομένους καὶ κολάζοντας, ἐπεὶ τοσοῦτος ὢν ἀνὴρ, καὶ τοσούτων τετυχηκὼς ὑπὸ τοῦ θεοῦ, αἰσχρᾷ πράξει ἑαυτὸν ἐξέδωκεν. Ἐπειδὴ γὰρ ἄφρακτος εὑρεθεὶς, οὐκ ἀντέσχε πρὸς τὰ τοῦ πονηροῦ πεπυρωμένα βέλη, εἰκότως τὴν ψυχὴν τρωθεὶς, ἑάλω τῇ ἐπιθυμίᾳ. ὥσπερ γὰρ τὰ τοῦ διαβόλου βέλη, τὰ ἕλκη τὰ ἐπιτεθέντα

τῷ Ἰὼβ κατὰ τοῦ σώματος, ἐπειδὴ κατὰ συγχώρησιν ἐγίνετο τοῦ θεοῦ, βέλη κυρίου ὠνόμασεν, εἰπών, βέλη γὰρ κυρίου ἐν τῷ σώματί μου ἐστίν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· οὕτως εἰκὸς καὶ τὸν Δαβὶδ ἐνταῦθα βέλη κυρίου εἰρηκέναι, ἐπεὶ κατὰ συγχώρησιν τοῦ κυρίου κατεστρατεύσατο αὐτοῦ ὁ ἀντίπαλος, ἵνα μάθῃ μὴ λέγειν, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Ἐπειδὴ γὰρ τῇ χάριτι τοῦ θεοῦ δυναμούμενος, μέγα ἐφ' ἑαυτῷ ἐφρόνησέ ποτε, ὡς ἀπαυθαδιάσασθαι καὶ εἰπεῖν, ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, τούτου χάριν εἰκότως παρεδόθη τῷ πειράζοντι, ὃς τῆς ψυχῆς αὐτοῦ καθαψάμενος, μειζόνως αὐτὸν ἢ τὸν Ἰὼβ ἐζημίωσεν. Ἐγὼ δὲ πρὸς ταύτας διαφορὰς τῆς διαθέσεως πρὸς τὴν ἀπαραίτητον ἀνάγκην τῆς ὑπακοῆς τοῦ Χριστοῦ καθορῶ, δουλείαν, μισθαρνίαν, υἱότητα. οἱ γὰρ φοβούμενοι τὰς κολάσεις, ἐκκλινόμενοι ἀπὸ

τοῦ κακοῦ, καὶ ἐσμὲν ἐν τῇ διαθέσει τῇ δουλικῇ· ἢ διὰ τὰ ἐκ τοῦ μισθοῦ κέρδη διώκοντες, ἕνεκεν τῆς ἑαυτῶν ὠφελείας πληροῦμεν τὰ προστεταγμένα, καὶ κατὰ τοῦτο προσεοίκαμεν τοῖς μισθίοις· ἢ δι' αὐτὸ τὸ καλὸν, καὶ τὴν πρὸς τὸν δεδωκότα ἡμῖν τὸν νόμον ἀγάπην, χαίροντες, ὅτι οὕτως ἐνδόξῳ καὶ ἀγαθῷ θεῷ δουλεύειν κατηξιώθημεν, καὶ ἐσμὲν οὕτως ἐν τῇ τῶν υἱῶν διαθέσει.

Οὔτε οὖν ὁ ἐν φόβῳ τὰς ἐντολὰς κατορθῶν, καὶ ἀεὶ τὸ τῆς ῥᾳθυμίας ἐπιτίμιον ὑφορώμενος, τὰ μὲν ποιήσει τῶν προστεταγμένων αὐτῷ, τὰ δὲ παρήσεται· ἀλλὰ τὴν ἐπὶ πάσῃ παρακοῇ ἐκδίκησιν ὁμοίως φοβερὰν ἑαυτῷ ὑπολήψεται· καὶ διὰ τοῦτο μακαρίζεται, ὡς οὐδὲν αἱρούμενος παριδεῖν τῶν δεόντων. μακάριος γάρ φησιν, ἀνὴρ ὁ φοβούμενος τὸν κύριον. διὰ τί; ὅτι ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Ἀλλ' οὐδὲ ὁ μισθωτὸς παραβήσεταί τι τῶν διατε-

ταγμένων αἱρήσεται. πῶς γὰρ καὶ μισθὸν τῆς ἐργασίας, μὴ πάντα πληρώσας τὰ συμπεφωνημένα· καὶ γὰρ ἐὰν ἕν τι λείπῃ τῶν ἀναγκαίων, ἄχρηστον τὸ ἔργον τῶν κεκλημένων κατέστησε. ὥς οὖν μενούσης ἔτι τῆς βλάβης, μισθὸν ὑποτελεῖ τῷ ἀδικήσαντι. Τρίτον δὲ ἡ κατὰ ἀγάπην ὑπηρεσία. τίς οὖν υἱὸς σκοπὸν ἔχων τὴν τοῦ πατρὸς εὐαρέστησιν, ἐπὶ τοῖς μείζοσιν ἑαυτὸν εὐφραίνων, τῶν σμικροτάτων ἕνεκεν λυπεῖν αἱρήσεται.

Οἱ τοίνυν τὰς πλείστας τῶν ἐντολῶν παραβαίνοντες, ἐν ποίῳ μέρει τετάχθαι βούλονται, μήτε ὡς πατρὶ ὑπηρετοῦντες τῷ θεῷ, μήτε ὡς μεγάλα ἐπαγγελομένῳ πειθόμενοι, μήτε ὡς δεσπότῃ δουλεύοντες· πῶς δὲ τὸν καθ' ἡδονὴν βίον τοῦ κατ' ἐντολὴν προτιμήσαντες, ζωῆς μακαριότητα καὶ ἰσοπολιτείαν τῶν ἁγίων, καὶ τὰς μετ' ἀγγέλων εὐφροσύνας ἐν προσώπῳ Χριστοῦ ὑποθώμεθα· νηπίας ὄντως φρενὸς τὰ τοιαῦτα

φαντάσματα, πῶς ἔσομαι μετὰ Ἰώβ, ὁ μηδὲ τῶν τυχόντων θλίψιν μετ᾽ εὐχαριστίας δεξάμενος· πῶς μετὰ Δαβὶδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακρόθυμος διατεθείς· πῶς μετὰ Δανιὴλ, ὁ μὴ μετ᾽ ἐγκρατείας διηνεκοῦς καὶ δεήσεως φιλοπόνου τὸν θεὸν ἐκζητήσας· πῶς μεθ᾽ ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν περιπατήσας. Τίς οὕτως ἄκριτος ἀθλοθέτης, ὡς τῶν ἴσων ἀξιῶσαι στεφάνων τὸν νικητὴν, καὶ τὸν μηδὲν ἠγωνισμένον· Τίς στρατηγὸς σκύλων ἐξ ἴσου ποτὲ τοῖς νενικηκόσι, τοὺς μηδὲ φανέντας ἐπὶ τῆς μάχης ἐκάλεσεν. Ἀγαθὸς ὁ θεός; ἀλλὰ καὶ δίκαιος. δικαίου δὲ, ἡ πρὸς ἀξίαν ἀντίδοσις, καθὼς γέγραπται, ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς, τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. ἐλεήμων; ἀλλὰ καὶ κριτής. ἀγαπᾷ γὰρ ἐλεημοσύνην, καὶ κρίσιν ὁ κύριος. ἔμαθες ἐπὶ τίνας τὸ ἔλεος; μακάριοι,

φησίν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ὁρᾷς πῶς κεχρημένως κέχρηται τῷ ἐλέῳ, οὔτε ἀκρίτως ἐλεῶν, οὔτε ἀνηλεῶς κρίνων; ἐλεήμων γὰρ ὁ κύριος, καὶ δίκαιος, μὴ τοίνυν ἐξ ἡμισείας τὸν κύριον γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥαθυμίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμβάνωμεν. διὰ τοῦτο βροντᾷ, διὰ τοῦτο κεραυνοί, ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης. ὁ τὸν ἥλιον ἀνατέλλων, καὶ ἀβλεψίαν καταδικάζει· ὁ τὸν ὄμβρον διδούς, καὶ τὸ πῦρ βρέχει· ἐκεῖνα τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας· ἢ δι' ἐκεῖνα ἀγαπήσωμεν, ἵνα μὴ ῥηθῇ καὶ ἡμῖν, ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς; Τί δέ μοι τὸ ὄφελος τῶν ἄλλων κατορθωμάτων, εἰ μέλλοιμι μωρὸν εἰπὼν τὸν ἀδελφὸν, ἔνοχος γενέσθαι

τῇ γεέννῃ. τί γὰρ ὄφελος τῆς ἀπὸ τῶν πολλῶν ἐλευθερίας, τῷ ὑφ' ἑνὸς κρατουμένῳ εἰς δουλείαν. ὁ γὰρ ποιῶν, φησὶ, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. τί δὲ κέρδος τῆς ἐν πολλοῖς ἀπαθείας, τῷ ὑφ' ἑνὸς πάθους φθειρομένῳ τὸ σῶμα. ὁ γὰρ τὸ θέλημα τοῦ θεοῦ ἐργαζόμενος, μὴ καθὼς δὲ θέλει ὁ θεὸς, μηδὲ ἐν διαθέσει τῆς πρὸς θεὸν ἀγάπης τοῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν τούτου σπουδήν. ἀμὴν γὰρ λέγω ὑμῖν, φησὶν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Τοιγαροῦν, εἰ μὴ τῆς πρώτης σεαυτοῦ γενέσεως, ἀλλ' οὖν θρέψε, μέμνησαι, ἐκ τῆς καταβληθείσης ὑπὲρ σοῦ τιμῆς λάβε τινὰ τοῦ ἀξιώματος ἔννοιαν· ἀπόβλεψόν σου πρὸς τὸ ἀντάλλαγμα, καὶ γνῶθι σεαυτοῦ τὴν ἀξίαν. τῷ πολυτιμήτῳ αἵματι τοῦ θεοῦ ἠγοράσθης, μὴ γίνου δοῦλος τῆς ἁμαρτίας· σύνες σεαυτοῦ τῆς τιμῆς, ἵνα μὴ παρεικασθῇς τοῖς ἀνοήτοις κτήνεσι. Πῶς γὰρ τῶν οἰκετῶν ἁρ-

ξετε, αὐτοὶ δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς, ὡς ἀνδράποδα· πῶς τοὺς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιόρθωτον ζῶντες. Ὥσπερ γὰρ ἐμοὶ ἀνάγκη ἐπίκειται, καὶ οὐαί μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι καὶ ἀναγγέλλω τὰ δικαιώματα τοῦ θεοῦ νυκτός τε καὶ ἡμέρας, κατὰ τὸν ἀπόστολον· οὕτως καὶ ὑμῖν ἴσος ὁ ἀγὼν, ἀποῤῥαθυμήσασιν, ἢ ἀπόνως καὶ ἐκλελυμένως, πρός τε τὴν φυλακὴν τῶν παραδεδομένων, καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν, διατεθεῖσιν. ὁ λόγος γὰρ ὃν ἐλάλησα, φησὶν ὁ κύριος, ἐκεῖνος κρινεῖ τὸν κόσμον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἀεὶ μὲν γὰρ ἐπιθυμῶν τοῦ καλοῦ, ἀεὶ δὲ ἀποτυγχάνων αὐτοῦ, οὐκ ἄλλην τινὰ αἰτίαν ἔχω τοῖς γινομένοις ἐπινοεῖν, πλήν γε δὴ τὸ πεπεῖσθαι, παλαιῶν ἁμαρτημάτων ἐκτιννύειν δίκας. Ὡς οὖν εἰδότες, ὅτι ἀντιπρόσωποι ἡμῖν οἱ τῆς θεοπνεύστου γραφῆς λόγοι

στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, οὕτως ὥστε προσέχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ εἰς ἔργον προαγαγεῖν τὰ θεῖα διδάγματα σπουδαίως ἐπειχθῶμεν, ὅτι οὐκ οἴδαμεν ποία ἡμέρα, ἢ ὥρα ὁ κύριος ἡμῶν ἔρχεται. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. η.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.



ΙΤΤΟΣ μὲν φόβος ἐνέσκηψε τοῖς τῆς διανοίας κόλποις, ἐκ τῆς περὶ σὲ ὑποθέσεως. ἢ γάρ τις ἀσυμπαθὴς τρόπος προκαταρξάμενος εἰς μισανθρωπίας ἔγκλημά με περιρρίψει, ἢ αὖθις συμπαθεῖν ἐθέλοντα καὶ πρὸς τὰ πάθη μαλακίζεσθαι, κακῶς διαθήσει· δι᾽ ὅπερ καὶ διαχαράττειν μέλλων τουτί μου τὸ γράμμα, τὴν μὲν χεῖρα ναρκῶσαν τοῖς λογισμοῖς ἐνθύρωσα· τὸ δὲ πρόσωπον ὑπορημένον ἐκ τῆς ἐπὶ σοὶ κατηφείας, ἀλλοιῶσαι οὐκ ἴσχυσα, τοσαύτης μοι ἐπικειμένης ἀγωνίας, ὡς καὶ τὴν τοῦ σώματος σύμπλεξιν παραχρῆμα πέπληγεν, τῶν γλεέων μου εἰς κλαυθμὸν ἐκτρεπο-

μθύων. Οἴ μοι, τί εἴπω, ἢ τί λογήσωμαι, ἐν περιόδῳ ἀπειλημμένος· ἐὰν ἔλθω εἰς μνήμην τῆς προτέρας σου ματαίας ἀναστροφῆς, ὅτε σοι περιέῤῥει πλοῦτος καὶ τὸ χαμαιπρεπὲς δοξάριον, φείδω, ἡνίκα εἶπερ σοι κολάκων πλῆθος, καὶ τρυφῆς ἀπόλαυσις περίσκεψις, μετὰ περιφανοῦς κινδύνου καὶ ἀδίκων πόρων· καὶ πῆ μὲν ἀρχοντικοὶ φόβοι διεῤῥίπιζόν σε τὴν τῆς σωτηρίας ὑπόνοιαν, πῆ δὲ δημοσίων θόρυβοι διεσάλευόν σου τὴν ἕξιν, ἥτε συνοχὴ τῶν κακῶν ἀπεσφετέριζέ σου τὸν νοῦν πρὸς τὸν δυνάμενόν σοι βοηθεῖν, ἡνίκα κατὰ μικρὸν ἐμελέτας περιβλέπεσθαι τὸν σωτῆρα, φέροντα μὲν πρὸς ὠφέλειαν τοὺς φόβους, ῥυόμενον δέ σε καὶ σκέποντα παίζοντα κατ' αὐτοῦ ἐν ταῖς ἀδείαις, ἡνίκα ἐγυμνάζου πρὸς μεταβολὴν σεμνοτέρου, σκυβαλίζων μὲν σου τὴν πολυκίνδυνον περιουσίαν, οἴκου τε θεραπείαν, καὶ συνοίκου ὁμιλίαν ἀπαρνησά-

μένος, ὅλος μετάρσιος, ὥσπερ ξένος καὶ ἀλήτης, ἀγροὺς καὶ πόλεις διαμείβων κατέδραμες ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα σοι καὶ αὐτὸς συνδιατρίβων, ἐμακάριζον τὴν ἀθλητικὴν τῶν πόνων, ὅτε ἑβδοματικοῖς κύκλοις νήστεις διατελῶν, τῷ προσφιλοσοφεῖς, ὁμοῦ δὲ τὰς τῶν ἀνθρώπων συντυχίας λόγῳ τῷ πῆς ἀποφεύγων, καὶ ἡσυχίαν ἑαυτῷ ἐφαρμόσας, τοὺς πολιτικοὺς θορύβους ἐξέκλινας· σάκκῳ δὲ τραχεῖ τὸ σῶμά σου διανύττων, καὶ ζώνῃ σκληρᾷ τὴν ὀσφὺν περισφίγγων, καρτερικῶς τὰ ὀστᾶ σου διέθλιβες· λαγόνας δὲ ταῖς ἐνδείαις κοιλαίνων, μέχρι τῶν νωτιαίων μερῶν ὑπεχαύνωσας· καὶ φασκίας μὲν ἁπαλῆς τὴν χρῆσιν ἀπηρνήσω· ἔνδοθεν δὲ τὰς λαπάρας σικύας δίκην ὑφελκόσας, τοῖς νεφριτικοῖς χωρίοις προσκολλᾶσθαι ἐβιάζου· ὅλην δὲ τὴν τῆς σαρκὸς πημελὴν ἐκκενώσας, τοὺς τῶν ὑπογαστρίων ὀχετοὺς γενναίως ἐξήρανας· γαστέρα τε

αὐτὴν ταῖς ἀσιτίαις συμπτύξας, τὰ πλευριτικὰ μέρη ὥσπερ τινὰ στέγης ἐξοχὴν, τοῖς τοῦ ὀμφαλοῦ μέρεσιν ἐπεσκίαζες, καὶ συνεσταλμένῳ ὅλῳ τῷ ὀργάνῳ κατὰ τὰς νυκτερινὰς νύκτας ἀνθομολογούμενος τῷ θεῷ, τοῖς τῶν δακρύων ὀχετοῖς ψυφάδα ἔμβροχον καθωμάλιζες. καὶ τί με δεῖ καταλέγειν ἕκαστα. μνήσθητι ὅσα ἁγίων στόματα φιλήματι κατησπάσω, ὅσα ἱερὰ σώματα περιεπτύξω, ὅσοι σου τὰς χεῖρας ὡς ἀγελώρους περιέθαλπον, ὅσοι δοῦλοι θεοῦ ὥσπερ πατέρας ὑπέδραμον, τοῖς γόνασί σου περιπλεκόμενοι. καὶ τούτων τέλος τί· μοιχικῆς φήμης διαβολὴ, βέλους ὀξύτερον διϊπταμένη, τιτρώσκει μὲν τὰς ἀκοὰς, ἀκμαιοτέρῳ κέντρῳ τὰ σπλάγχνα μὲν διανύττουσα. τίς ἡ τοῦ γόητος τοσαύτη ἔντεχνος ποικιλία εἰς τοσοῦτόν σε περιήγαγεν ὀλέθριον σκέλισμα· ποῖα πολύπλοκα τοῦ διαβόλου δίκτυα περισφίγξαντά σε, τὰς

τῆς

τῆς ἀρετῆς ἐνεργείας ἀκινήτους ἀπήλεγξε. ποῦ μοι τὰ διηγήματα τῶν σῶν πόνων οἴχεται. ἆρα γὰρ ἀπιστῆσαι ἄξιον; καὶ πῶς οὐχὶ ἐκ τῶν ἐναργῶν καὶ τὰ τέως ἀφανῆ εἰς πίστιν ἀξόμεθα, εἰ τὰς τῷ θεῷ προσφυγούσας ψυχὰς φρικτοῖς ὅρκοις κατέκλεισας, ὁπότε παρατετηρημένως τὸ ναὶ καὶ τὸ οὔ, τὸ περιττὸν τῷ διαβόλῳ προσνενέμηται. ὁμοῦ τοίνυν καὶ παρορκίας ὀλεθρίου γέγονας ἔνδικος, καὶ φαυλίσας τῆς ἀσκήσεως τὸν χαρακτῆρα, μέχρι τῶν ἀποστόλων καὶ αὐτοῦ τοῦ κυρίου ἀνέπεμψας τὸ αἶσχος.

Κατῄσχυνας τὸ τῆς ἁγνείας καύχημα, ἐμωμήσω τῆς σωφροσύνης τὸ ἐπάγγελμα, ἐγενόμεθα αἰχμαλώτων τραγῳδία, ἰουδαίοις καὶ ἕλλησι δραματουργεῖται τὰ ἡμέτερα· διέτεμες φρόνημα μοναχῶν, τοὺς ἀκριβεστέρους εἰς φόβον καὶ δειλίαν ἤγαγες, θαυμάζοντας ἐπὶ τοῦ διαβόλου τὴν δύναμιν· τοὺς ἀδιαφόρους εἰς ἀκολασίας

ζῆλον μετέθηκας. Ἔλυσας ὅσον ἐπὶ σοί, ὃ τοῦ Χριστοῦ καύχημα, θαρσεῖτε, λέγοντος, ἐγὼ νενίκηκα τὸν κόσμον, καὶ τὸν τούτου ἄρχοντα· ἐκέρασας τῇ πατρίδι κρατῆρα δυσφημίας· ὄντως εἰς ἔργον ἤγαγες τὰς παροιμίας, ὡς ἔλαφος τοξευθεὶς εἰς τὸ ἧπαρ. Ἀλλὰ τί νῦν· οὐ πέπτωκεν ὁ τῆς ἰσχύος πύργος ἀδελφέ· οὐκ ἐμαράνθη τὰ τῆς ἐπιστροφῆς φάρμακα· οὐκ ἀπεκλείσθη τοῦ φυγαδευτηρίου ἡ πόλις· μὴ τῷ βάθει τῶν κακῶν ἐναπομείνῃς, μὴ χρήσῃς σεαυτὸν τῷ ἀνθρωποκτόνῳ· οἶδεν ἀνορθοῦν κατεῤῥαγμένους ὁ κύριος. φεῦγε μὴ μακράν, ἀλλὰ πρὸς ἡμᾶς ἀνάδραμε· ἀνάλαβε πάλιν νεανικοὺς πόνους, δευτέροις κατορθώμασι διαλύων τὴν χαμαίζηλον καὶ γελοιώδη ἡδονήν. ἀνάνευσον πρὸς τὴν τοῦ τέλους ἡμέραν, οὕτω προσεγγίσασαν τῇ ζωῇ ἡμῶν· καὶ γνῶθι πῶς λοιπὸν ἰουδαίων καὶ ἑλλήνων παῖδες συνελαύνονται πρὸς θεοσέβειαν·

καὶ μὴ ἀπαξαπλῶς ἀπαρνήσηται τὸν τοῦ κόσμου ἔρωτα, μή σε ἡ φρικωδεστάτη ἐκείνη καταλάβῃ ἀπόφασις, ὅτι οὐκ οἶδα ὑμᾶς, τίνες ἐστέ. Ἑνὸς ἀνδρὸς ἦν Ἰωάννου τὸ κήρυγμα, καὶ πάντας εἷλκε πρὸς τὴν μετάνοιαν· σὺ δὲ διὰ προφητῶν διδασκόμενος, λούσασθε, καθαροὶ γένεσθε· διὰ ψαλμῶν νουθετούμενος, προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε· διὰ ἀποστόλων εὐαγγελιζόμενος, μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν ἐπαγγελίαν τοῦ πνεύματος· ὑπ' αὐτοῦ τοῦ κυρίου προσλαμβανόμενος λέγοντος, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, ὀκνεῖς, ἢ βουλεύῃ, καὶ διαμέλλεις; ἐκ νηπίου τὸν λόγον κατηχούμενος, οὔπω συνέθου τῇ ἀληθείᾳ· πάντοτε μανθάνων, οὐδέ πω ἦλθες πρὸς τὴν ἐπίγνωσιν, πειραστὴς διὰ βίου, κατάσκοπος μέχρι γήρως.

Πότε γενήσῃ χριστιανὸς, πότε σε γνωρίσομεν ὡς ἡμέτερον· πέρυσι τὸν παρόντα καιρὸν ἐξεδέχου, νῦν πάλιν ἀναμένεις τὸν ἐπιόντα. ὅρα μὴ εὑρεθῇς μακροτέρας τῆς ζωῆς τὰς ὑποσχέσεις ποιούμενος. οὐκ οἶδας τί τέξεται ἡ ἐπιοῦσα, μὴ ἐπαγγέλλου τὰ μὴ σά. ἐπὶ ζωήν σε καλοῦμεν, ἄνθρωπε, τί ἀποφεύγῃς τὴν κλῆσιν· ἐπ᾽ ἀγαθῶν μετουσίαν, τί ὑπερβαίνῃς τὴν δωρεάν. Βασιλεία οὐρανῶν ἤνοικται· ὁ καλῶν, ἀψευδής· ἡ ὁδὸς, ῥᾳδία· οὐ χρόνου, οὐ δαπάνης, οὐ πραγματείας χρεία· τί μέλλεις, τί ἀναδύῃ, τί φοβῇ τὸν ζυγὸν, ὥσπερ δάμαλίς τις ἀπειρόζυγος· οὐ τρίβει τὸν αὐχένα, ἀλλὰ δοξάζει. οὐ γὰρ δεσμεῖται ἡ ζεύγλη περὶ τὸν τράχηλον· αὐτεξούσιον ἐπιζητεῖ τὸν ὑφέλκοντα. ὁρᾷς ὅτι κατηγορεῖται Ἐφραῒμ ὡς παροιστρῶσα δάμαλις, ὅτι ἄτακτα περιπλανᾶται τὸν τοῦ νόμου ζυγὸν ἀτιμάζων; ὑπόθες σου τὸν ἀδάμαστον αὐχένα· γενοῦ ὑποζύγιον τοῦ

χείρονος, ἵνα μὴ ἀφιέμενος τῆς ζεύγλης, μηδὲ ἐλευθεριάζων τοῦ βίου, εὐεπιχείρητος ἦς τοῖς θείοις. Εἰ χρυσὸν τῇ ἐκκλησίᾳ διένεμον, οὐκ ἄν μοι εἶπες, αὔριον ἥξω, καὶ αὔριον δώσεις· ἀλλ᾽ ἀπήτεις ἂν ἤδη τὴν διανομὴν κατεπείγων, καὶ ἐδυσφόρεις πρὸς τὴν ὑπέρθεσιν· ἐπεὶ δὲ οὐχ ὕλης εὔχροιαν, ἀλλὰ ψυχῆς καθαρότητα προτείνεταί σοι ὁ μεγαλόδωρος, προφάσεις πλάττῃ, καὶ αἰτίας ἀπαριθμῇ; εἰ δοῦλος ἀνθρώπων ἦσθα, προεγράφη δὲ δούλοις ἐλευθερία, οὐκ ἂν ἐπὶ τὴν κυρίαν ἀπήντησας, συνηγόρους μισθούμενος, καὶ δικαστὰς παρακαλῶν, ὥστε πάσῃ μηχανῇ πρὸς ἐλευθερίαν ἐξαιρεθῆναι; ἢ που καὶ ῥάπισμα, τὴν τελευταίαν τῶν δούλων πληγὴν, ὑπὲρ τῆς μετὰ ταῦτα τῶν αἰκισμῶν ἀπαλλαγῆς κατεδέχου. Ἐπειδὴ δὲ δοῦλον ὄντα σε οὐκ ἀνθρώπων, ἀλλὰ τῆς ἁμαρτίας, καλεῖ πρὸς ἐλευθερίαν ὁ κήρυξ, ἵνα λύσῃ μέν σε τῆς

αἰχμαλωσίας, ἰσοπολίτην δὲ τοῖς ἀγγέλοις ποιήσῃ, καὶ υἱὸν μὲν ἀποδείξῃ θεοῦ, εἰσποιηθέντα διὰ τῆς χάριτος, κληρονόμον δὲ τῶν ἀγαθῶν τοῦ Χριστοῦ, οὔπω λέγεις εἶναί σοι καιρὸν δέξασθαι τὰ διδόμενα; Ὢ τῶν πονηρῶν ἐμποδίων, ὢ τῆς αἰσχρᾶς καὶ ἀτελέστου ἀσχολίας· ἕως πότε ἡδοναί, ἕως πότε ἡδυπάθειαι. πολὺν ἐζήσαμεν χρόνον τῷ κόσμῳ, ζήσωμεν λοιπὸν καὶ ἑαυτοῖς. τί ψυχῆς ἀντάξιον, τί ἰσοστάσιον τῆς βασιλείας τῶν οὐρανῶν, τίς ἀξιοπιστότερός σοι σύμβουλος τοῦ θεοῦ· τίς φρονιμώτερος τοῦ σοφοῦ, ἢ τίς ὠφελιμώτερος τοῦ ἀγαθοῦ, τίς τοῦ κτίσαντος οἰκειότερος. τοῦτο δὲ τῇ Εὔᾳ συνήνεγκε τῇ τοῦ ὄφεως συμβουλῇ πεισθῆναι μᾶλλον ἢ τῇ τοῦ δεσπότου. ὢ τῆς ἀτοπίας τῶν λόγων, οὐκ ἄγω σχολὴν ὑγιᾶναι, μήπω μοι δείξῃς τὸ φῶς, μήπω συνάψῃς τῷ βασιλεῖ. οὐ ταῦτα λέγεις ἄντικρυς, μᾶλλον δὲ τὰ τούτων ἀλογιστότερα; Σὺ δὲ, εἰ μὲν ἦς ἐγγεγραμμέ-

νος τοῖς δημοσίοις ὀφλήμασι, χρεῶν δὲ ἀποκοπαὶ τοῖς ὑπευθύνοις παρεισήλθησαν, εἶτά τις ἦν ὁ πρὸς ἐπήρειαν ἄμοιρόν σε ποιῆσαι τῆς συγχωρήσεως ταύτης ἐπιχειρῶν, ἠγανάκτεις ἂν καὶ ἐβόας, ὡς τὸ ἐπιβάλλον σοι μέρος τῆς κοινῆς χάριτος ἀφαιρούμενος· ἐπεὶ δὲ οὐ μόνον ἄφεσις τῶν παρελθόντων, ἀλλὰ καὶ δωρεαὶ τῶν μελλόντων προεκηρύχθησαν, αὐτὸς ἑαυτὸν ἀδικῶν, ἃ μηδ᾽ ἂν τῶν ἐχθρῶν σοι τὶς ἐπηρέασατο, οἴει προσηκόντως βεβουλεῦσθαι, καὶ λυσιτελῶς ἐντεθυμῆσθαι περὶ σεαυτοῦ, ὅς γε οὐ δέχῃ τὴν ἄφεσιν, ἀλλ᾽ ἐναποθνήσκεις τοῖς ὀφλήμασιν; Εἰ μὲν πολλά σου ἐστὶ τὰ ἁμαρτήματα, μὴ ἀθυμήσῃς διὰ τὸ πλῆθος· ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, ἐὰν δέχῃ τὴν χάριν· εἰ δὲ μικρὰ καὶ εὐτελῆ, καὶ οὐ πρὸς θάνατόν σου τὰ ἁμαρτήματα, τί ἀγωνιᾷς τὸ μέλλον, ὅς γε οὐκ ἀγεννῶς τὰ παρελθόντα διήνεγκας. νῦν ὥσπερ

ἐπὶ τρυτάνης ἑστάναι νόμιζέ σου τὴν ψυχὴν, ἄνθρωπε, ἔνθεν ὑπ' ἀγγέλων, κἀκεῖθεν ὑπὸ δαιμόνων διελκομένην, τίσιν ἄρα δώσεις τὴν ῥοπὴν τῆς καρδίας σου τότε· τί παρὰ σοὶ νικήσει, ἡδονὴ σαρκὸς ἢ ἁγιασμὸς ψυχῆς, ἀπόλαυσις τῶν παρόντων ἢ τῶν μελλόντων ἐπιθυμία· ἄγγελοί σε παραλήψονται, ἢ καθέξουσιν οἱ κατέχοντες; ἐπὶ παρατάξεως οἱ στρατηγοὶ, ὃ σύνθημα τοῖς ὑπ' αὐτοὺς διανέμουσιν, ἵνα καὶ οἱ φίλοι ῥαδίως ἀλλήλους ἀνακαλῶνται, καὶ πρὸς τοὺς ἐναντίους, ἐὰν τῆς συμπλοκῆς ἀναμιχθῶσιν, εὐκρινὴς δύνηται ὑπάρχειν ὁ χωρισμός. οὐδεὶς ἐπιγνώσεταί σε, εἰ ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων, ἐὰν μὴ τοῖς μυστικοῖς συμβόλοις παράσχῃ τὴν οἰκειότητα. ἐὰν μὴ σημειωθῇ ἐπὶ σὲ τὸ φῶς τοῦ προσώπου κυρίου, πῶς ἀντιποιηθῇ σου ὁ ἄγγελος· πῶς δὲ ἀφέληται τὸν ἐχθρὸν, ἐὰν μὴ ἐπιγνῷ τὴν σφραγῖδα· πῶς δὲ σὺ ἐρεῖς, τοῦ θεοῦ εἰμὶ, μὴ

ἐπιφερόμενος τὰ γνωρίσματα. ἀσφαλὴς θησαυρὸς, ἀνεπιχείρητος κλέπταις· πρόβατον ἀσημείωτον, ἀκινδύνως ἐπιβουλεύεται. Εἴ τις ἰατρῶν ἐπηγγέλλετό σοι, μηχαναῖς τισὶ καὶ ἐπινοίαις νέον ποιήσειν ἐκ γέροντος, οὐκ ἂν ἐπεθύμησας ἐλθεῖν εἰς ἐκείνην τὴν ἡμέραν ἐν ᾗ σεαυτὸν ὁρᾷν ἔμελλες πρὸς ἀκμὴν ὑποστρέφοντα; ἐπειδὴ δὲ τὴν ψυχήν σου ἀναθηλήσειν ἐπαγγέλλεταί σοι ἡ μετάνοια, ἣν σὺ ἐπαλαίωσας, καὶ ῥυσὴν αὐτὴν ἐκ τῶν ἀνομιῶν καὶ ἐσπιλωμένην ἀπέδειξας, καταφρονεῖς τοῦ εὐεργέτου, καὶ οὐ προστρέχεις τῷ ἐπαγγέλματι; οὐκ ἐπιθυμεῖς ἰδεῖν, τί τὸ μέγα θαῦμα τῆς ὑποσχέσεως; πῶς ἄνευ μητρὸς ἀναγεννᾶται ἄνθρωπος; πῶς ὁ παλαιούμενος καὶ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης σφριγᾷ πάλιν καὶ ἀνηβᾷ, καὶ εἰς τὸ ἀληθινὸν ἄνθος τῆς νεότητος ἐπανέρχεται; τοσούτων ἀγαθῶν καὶ τηλικούτων ἄθλιε, προτιμοτέραν ἄγεις τὴν

ἡδονήν; νοῶ γὰρ σου τὴν ὑπέρθεσιν· κἂν πε ριστέλλῃ τοῖς ῥήμασιν, αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς· ἔασον, ἀποχρήσωμαι τῇ ἀρχῇ πρὸς τὴν ἀπόλαυσιν τῶν αἰσχρῶν, ἐγκυλισθῶ τῷ βορβόρῳ τῶν ἡδονῶν, αἱμάξω τὰς χεῖρας, ἀφέλωμαι τὰ ἀλλότρια, δολίως πορθῶ, ἐπιορκήσω, ψεύσωμαι· καὶ τότε ἡ μετάνοια, ὅταν λῆξιν ποτε τῶν κακῶν ἀποδέξωμαι. Εἰ μὲν οὖν καλὸν ἡ ἁμαρτία, φύλαξον ταύτην εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι, τί ἐπιμένεις τοῖς ὀλεθρίοις. οὐ βλέπει θεὸς τὰ γινόμενα; ἢ οὐ νοεῖ σου τὰ ἐνθυμήματα, ἢ συνεργάζεταί σου ταῖς ἀνομίαις; ὑπέλαβες γὰρ ἀνομίαν, φησὶν, ὅτι ἔσομαί σοι ὅμοιος. Σὺ δὲ, ἀνδρὸς μὲν θνητοῦ φιλίαν πραγματευόμενος, δι' εὐεργεσίας αὐτὸν προσαγάγῃ, ἐκεῖνα λέγων καὶ πράττων, οἷς περ ἂν αὐτὸν εἰδῇ χαίροντα· θεῷ δὲ προσοικειούμενος, καὶ εἰς

τὴν τοῦ υἱοῦ τάξιν ἐλπίζων παραδεχθήσεσθαι, τὰ ἐχθρὰ τῷ θεῷ πράττων, καὶ διὰ τῆς τοῦ νόμου παραβάσεως ἀτιμάζων αὐτόν· ἐξ ὧν μάλιστα παρασκευάζεις, ἐκ τούτων ἐλπίζεις τὴν οἰκειότητα; ὅρα μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως πλῆθος κακῶν σεαυτῷ συλλεξάμενος, τὴν μὲν ἁμαρτίαν ἀθροίσῃς, τῆς δὲ συγχωρήσεως ἀποτύχῃς.

Θεὸς οὐ μυκτηρίζεται, μὴ ἐμπορεύου τὴν χάριν· μὴ εἴπῃς, καλὸς μὲν ὁ νόμος, ἀλλ' ἡδίων ἡ ἁμαρτία. ἡδονὴ, ἄγκιστρόν ἐστι τοῦ διαβόλου πρὸς ἀπώλειαν ἕλκον. ἡδονὴ, μητὴρ τῆς ἁμαρτίας, ἡ δὲ ἁμαρτία, ὃ κέντρον ἐστὶ τοῦ θανάτου· ἡδονὴ, τροφὸς τοῦ αἰωνίου σκώληκος, ἣ πρὸς καιρὸν μὲν καταλεαίνει τὸν ἀπολαύοντα, ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται τὰς ὀδύνας. Τί ποιεῖς ἄνθρωπε, ὅτε δυνατὸς εἶ ἐν ἔργοις, τὴν νεότητά σου ταῖς ἁμαρτίαις προσαναλίσκεις· ὅταν ἀποκάμῃ τὰ ὄργανα, τότε

προσάγεις αὐτὰ τῷ θεῷ; ὅτε εἰς οὐδὲν αὐ-
τοῖς ἐστὶ χρήσασθαι, ἀλλ' ἀνάγκη κεῖσθαι διὰ τὸν
ἐκ τοῦ χρόνου μαρασμόν, παραλυθέντος τοῦ
τόνου, ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη,
ἀλλὰ ἀκολασίας ἀδυναμία. νεκρὸς οὐ στε-
φανοῦται, οὐδεὶς δίκαιος διὰ ἀδυναμίαν
κακοῦ. ἕως ἐστί σοι δύναμις, λόγῳ κράτει
τῆς ἁμαρτίας. τοῦτο γάρ ἐστιν ἀρετή, ἔκκλι-
σις ἀπὸ κακοῦ, καὶ ποίησις ἀγαθοῦ. ἡ δὲ ἀρ-
γία τῆς πονηρίας, οὔτε ἐπαίνων αὐτὴ κα-
θ' ἑαυτήν, οὔτε κολάσεων ἀξιοῦται. ἐὰν δὲ ἡ-
λικίαν παύσῃ τῆς ἁμαρτίας, τῆς ἀσθενείας
ἡ χάρις. ἐπαινοῦμεν δὲ τοὺς κατὰ προαίρε-
σιν ἀγαθούς, οὐ τοὺς ὑπό τινος ἀνάγκης ἐξειρ-
γομένους. τίς δέ σοι τὸν ὅρον τῆς ζωῆς ἔπηξε.
τίς σοι τὴν προθεσμίαν τοῦ γήρως ὥρισε·
τίς οὕτως ἀξιόπιστος παρὰ σοὶ τῶν μελλόν-
των ἐγγυητής. οὐχ ὁρᾷς νήπια ἀναρπαζό-
μενα; τοὺς ἐν ἡλικίᾳ ἀπαγομένους; οὐκ
ἔχει μίαν προθεσμίαν ὁ βίος, τί ἀναμένεις

πυρετοῦ σοι δῶρον γένηται τὴν μετάνοιαν, ὅτε οὐδὲ φθέγξασθαι δυνήσῃ τὰ τῆς ἐξομολογήσεως σωτήρια ῥήματα· τάχα δὲ, οὐδὲ ἀκοῦσαι καθαρῶς ἐπιτραπήσῃ, αὐτῇ τῇ κεφαλῇ ἐνοικούσης τῆς νόσου, οὐ χεῖρας ἆραι εἰς οὐρανὸν, οὐκ ἐπὶ πόδας διαναστῆναι, οὐ κλῖναι γόνυ εἰς τὴν προσκύνησιν, οὐ διδαχθῆναι χρησίμως, οὐχ ὁμολογῆσαι ἀσφαλῶς, οὐχὶ πιστεῦσαι θεῷ, οὐκ ἀποτάξασθαι τῷ ἐχθρῷ· τάχα δὲ, οὐδὲ συνετῶς ἐπακοῦσαι μυσταγωγούμενος, ἀμφίβολος ὢν τοῖς παροῦσιν, ἆρα ἤσθετο τῆς χάριτος, ἢ ἀναισθήτως ἔχει τῶν γινομένων· ὅταν δὲ καὶ ἐπισημένως τὴν χάριν δέξῃ, τότε τὸ μὲν τάλαντον ἔχεις, τὴν δὲ ἐργασίαν οὐκ ἐπιφέρῃ. Σοφός ἐστι τοῦ κακοποιῆσαι ὁ πονηρὸς, ἀδελφοί. συνορᾷ ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι, καὶ πᾶσα πρᾶξις κατὰ τὸ ἐνεστὼς ἐνεργεῖται· τὴν οὖν σήμερον κλέπτων ἡμῶν διὰ τῆς μεθοδείας, τῆς αὔριον ἡμῖν τὰς ἐλπίδας

περιαφίησιν. ἢ γὰρ οὐχί, τὴν μὲν ἁμαρτίαν
σήμερον ποιεῖν ὑποβάλλει, τὴν δὲ δικαιο-
σύνην εἰς τὴν αὔριον πείθει ἡμᾶς ταμιεύ-
εσθαι· εἶτα ἐπειδὰν ἡ αὔριον ἔλθῃ, πάλιν
ἔρχεται ὁ κακὸς συμμεριστὴς ἡμῶν, ἀξιῶν
τὴν σήμερον ἑαυτῷ, τὴν δὲ αὔριον τῷ κυ-
ρίῳ· καὶ οὕτως ἀεί, τὸ μὲν παρὸν δι᾽ ἡδονῆς
ὑφαιρούμενος, τὸ δὲ μέλλον ταῖς ἐλπίσιν ἡ-
μῖν προσαφιείς, λανθάνει ἡμᾶς ἀποβου-
κολῶν τῆς ζωῆς. Τοιαύτην εἶδον ἐγώ
ποτε πανουργίαν ὄρνιθος εὐμηχάνου. εὐα-
λώτων γὰρ αὐτῆς τῶν νεοττῶν ὑπαρχόντων
δι᾽ ἁπαλότητα, ἑαυτὴν προβαλλομένη ὡς
ἕτοιμον θήραμα, καὶ ταῖς χερσὶ τῶν ἀγρευόν-
των ἐνστρεφομένη, οὔτε ἁλώσιμος ἦν ἐκ
τοῦ προχείρου τοῖς θηρευταῖς, οὔτε ἀπόγνω-
σιν αὐτοῖς ἐνεποίει τῆς ἄγρας, ἀλλὰ ταῖς ἐλ-
πίσιν αὐτοὺς ποικίλως παρακατέχουσα,
τῇ περὶ αὐτὴν ἀσχολίᾳ τοῖς νεοσσοῖς τὴν
ἄδειαν τῆς φυγῆς προεξένησεν· εἶτα τὸ τε-

λευταῖον καὶ αὐτὴ συναπέλθῃ. Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, ἐν ταῖς τῶν ἀδήλων ἐλπίσι τὰ φανερὰ παριέμενος. Ὅρα μή ποτε ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, καὶ μῆνα ἐκ μηνὸς, καὶ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενος τὴν μετάνοιαν, ἐμπέσῃς ποτὲ εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα δὴ ἐπιλείπωσί σε λοιπὸν αἱ τοῦ ζῆν ἀφορμαί· ἀπορία δὲ ᾖ πανταχόθεν, καὶ θλίψις ἀπαραμύθητος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων, ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμύχοντος, στενάζῃς μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις· καὶ φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανὲς, ὁ δὲ ἀκούων οὐκ ἔσται, πᾶν δὲ τὸ λαλούμενον παρὰ σοῦ, ὡς παραφροσύνη καταφρονῆται. Τίς ὑπομνήσει σε περὶ μετανοίας τότε κεκαρωμένον τοῖς πάθεσι· οἱ προσήκοντες ἀθυμοῦσιν,

οἱ ἔξω τοῦ πάθους καταφρονοῦσιν· ὁ φίλος ὀκνεῖ τὴν ὑπόμνησιν, ὡς ταραχὴν ἐμποιοῦσαν, ἤ που καὶ ἰατρὸς ἐξαπατᾷ, καὶ σεαυτὸν οὐκ ἀπογινώσκεις, διὰ τὸ φύσει φιλόζωον· ὁ θάνατος παρέστηκεν, οἱ ἀπάγοντες κατεπείγουσι, τίς ὁ ἐξαιρούμενος· θεὸς, ὁ καταφρονηθείς; ἀλλ' εἰσακούσεταί ποτε· σὺ γὰρ αὐτοῦ νῦν εἰσακούεις. προθεσμίαν δώσει· καλῶς ἐχρήσω τῇ δεδομένῃ. Μηδείς σε ἐξαπατάτω κενοῖς λόγοις. ἐπιστήσεται γάρ σοι αἰφνίδιος ὄλεθρος, καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται· ἥξει ἄγγελος κατηφὴς, ἀπάγων βιαίως καὶ σύρων σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις, πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε, καὶ ὀδυρομένην ἄνευ φωνῆς τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος. ὢ πόσα σπαράξεις σεαυτὸν, πόσα στενάξεις, ἄπρακτα μετανοῶν ἐπὶ τοῖς βουλεύθεῖσιν. Ὅταν ἴδῃς τὴν φαιδρότητα τῶν δικαίων, ἐν τῇ λαμπρᾷ

διὰ

διανομῇ τῶν δώρων, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ, οἷα ἐρεῖς ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου τότε· αἴ με, μὴ ἀπορρίψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας, οὕτω ῥᾳδίας οὔσης τῆς ἀποθέσεως, ἀλλὰ τὸν θεὸν τῶν κακῶν τούτων ἐφελκύσασθαι· αἴ με, τὰς κηλῖδας μὴ ἀποπλύνασθαι, ἀλλ' ἐστιγμένον εἶναι ταῖς ἁμαρτίαις· νῦν δὲ ἤμην μετὰ τῶν ἀγγέλων, νῦν ἂν τοῖς οὐρανίοις ἀγαθοῖς ἐνετρύφων.

Ὦ τῶν πονηρῶν βουλευμάτων, διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν, ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς, τῷ πυρὶ παραδίδομαι. δικαία ἡ κρίσις τοῦ θεοῦ· ἐκαλούμην, καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην, καὶ οὐ προσεῖχον· διεμαρτύρατό μοι, ἐγὼ δὲ κατεγέλων. ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς ἀποκλαιόμενος σεαυτόν. ἐὰν προαναρπασθῇς τῆς μετανοίας, ἄνθρωπε, ἢ τὴν γέενναν φοβήθητι, ἢ τῆς βασιλείας ἀντιποιήθητι.

Ἐμοὶ δάκρυόν ἐπέρχεται, ὅταν ἐνθυμηθῶ, ὅτι τὰ ἔργα τῆς αἰσχύνης προτιμᾷς τῆς μεγάλης δόξης τοῦ θεοῦ, καὶ διὰ τὸ τῆς ἀκολασίας ἡδὺ δυσαποσπάστως ἔχων τῆς ἁμαρτίας, τὴν ἐν ἐπαγγελίαις ἀγαθῶν σεαυτὸν ἀποκλείεις, ὡς μὴ ἰδεῖν τὰ ἀγαθὰ Ἱερουσαλὴμ τῆς ἐπουρανίου. Βούλεταί σε ἐλεῆσαι, καὶ τῶν αὐτοῦ οἰκτιρμῶν μεταδοῦναι· ὁ κριτὴς κατὰ τὸν εἰπόντα, ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος. ἀλλ' ἐὰν μὲν εὕρῃ σε μετὰ τὴν ἁμαρτίαν ταπεινόν, συντετριμμένον, πολλὰ μετακλαύσαντα ἐπὶ τοῖς πονηροῖς ἔργοις, τὰ γινόμενα κρυφῇ ἀνεπαισχύντως δημοσιεύσαντα, δεηθέντα ἀδελφῶν συγκαμεῖν σοι πρὸς τὴν ἴασιν, ὅλως ἐλεεινόν σε γινόμενον ἐὰν ἴδῃ, ἄφθονόν σοι τὴν αὐτοῦ ἐλεημοσύνην ἐπιχορηγεῖ· ἐὰν δὲ καρδίαν ἀμετανόητον, φρόνημα ὑπερήφανον, ἀπιστίαν τοῦ αἰῶνος τοῦ μέλλοντος, ἀφοβίαν κρίσεως, τότε ἀγαπᾷ ἐπὶ σοὶ τὴν κρίσιν.

Ὡς γὰρ ἰατρὸς ἐμμελὴς καὶ φιλάνθρωπος, καταντλήμασι πρότερον καὶ περιπλάσμασιν ἁπαλοῖς πειρᾶται καταστεῖλαι τὸ οἴδημα, ἐπειδὰν δὲ ἴδῃ ἀνενδότως καὶ σκληρῶς ἀντιτυποῦντα τὸν ὄγκον, ῥίψας τὸν ἔλεον καὶ τὴν μαλακὴν ἀγωγὴν, αἱρεῖται λοιπὸν τὴν τοῦ σιδήρου χρῆσιν. Τοὺς γὰρ ἀπὸ πολλῶν πταισμάτων πολλάκις διαναστάντας ἐκ τῆς κατὰ φιλανθρωπίαν χρηστολογίας, εἶτα ὕστερον ὑπὸ τῆς ἀσθενείας καταπεσόντας, ἀπειλεῖ παντελῶς ὁ θεὸς μὴ ἀφήσειν. οὐκ ἔτι γάρ φησιν, ἀνήσω τὰς ἁμαρτίας ὑμῶν· ἔμφασιν ἡμῖν παρέχων τοῦ πολλάκις ἤδη πρότερον ἐπὶ τοῖς ὁμοίοις συγκεχωρηκέναι. χωρὶς γὰρ τῆς παρὰ τοῦ θεοῦ ἀφέσεως, ἐπιδιδόναι τινὰ ἑαυτὸν πρὸς τὸν κατ' ἀρετὴν βίον, ἀμήχανον. Τὸν γὰρ ἐν ποίν ἁμαρτίαις ἐξετασθέντα, εἶτα ἀνατρέχειν ἐπὶ τὸν ὑγιῆ βίον ἐπαγγελλόμενον, βούλεται πέρατι μὲν ὁρίζειν τὰ παρελθόντα, ἀρω-

γὴν δέ τινα ποιῶνται μετὰ τὰ ἡμαρτημένα, οἱονεὶ διὰ τῆς μετανοίας ἀναβιώσκοντα, συνεχῶς δὲ ταῦτα ἐπαγγελλόμενον, καὶ συνεχῶς αὐτῶν ἀποπίπτοντα, ὡς παντελῶς αὐτὸν ἀπεγνωσμένον, τῆς φιλαδελφίας ἐκκλείειν. Οὐ γὰρ ὁ εἰπὼν, ἥμαρτον, εἶτα ἐπιμένων τῇ ἁμαρτίᾳ, οὗτος ἐξομολογεῖται, ἀλλ' ὁ κατὰ τὸν ψαλμῳδὸν εὑρὼν τὴν ἁμαρτίαν αὐτοῦ καὶ μισήσας. τί γὰρ ὄφελος τῷ ἀῤῥωστοῦντι ἡ παρὰ τοῦ ἰατροῦ ἐπιμέλεια, ὅταν τὰ φθαρτικὰ τῆς ζωῆς ὁ κάμνων ἐπιτηδεύῃ· οὕτως οὐδὲν ὄφελος ἀδικημάτων συγχωρουμένων τῷ ἔτι ἀῤῥωστοῦντι, καὶ ἀκολασημάτων ἀφιεμένων, τῷ ἔτι ἀκολασταίνοντι. Παῦσαι τοιγαροῦν τὰ τοῦ πλησίον κακὰ περιεργάζεσθαι· μὴ δίδου σχολὴν τοῖς λογισμοῖς, ἀλλότρια ἐξετάζειν ἀῤῥωστήματα, ἀλλ' ἐπὶ τὴν οἰκείαν ἔρευναν στρέφε σου τὸ ὄμμα. πολλοὶ γὰρ τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ καταινοῦσι, τὴν

δὲ ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν, οὐκ ἐμβλέπουσι. μὴ τὰ ἔξω περισκόπει, εἴ που τινὸς μῶμον ἐξευρεῖν δυνηθείης κατὰ τὸν φαρισαῖον ἐκεῖνον· ὃς εἰσήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνην ἐξευτελίζων· ἀλλὰ σεαυτὸν ἀνακρίνων μὴ διαλείπῃς, μή τι κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μή τι ἡ γλῶσσα προώλισθε, τῆς διανοίας προεκδραμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῶν χειρῶν πέπραχάς τι τῶν ἀβουλήτων. Ὥσπερ γὰρ ἀμήχανον ὑγείαν ἀναλαβεῖν μὴ τῆς νόσου ἀπαλλαγέντα, ἢ ἐν θερμότητι γενέσθαι τὸν μὴ καθαρῶς πεπαυμένον τῆς καταψύξεως· ἀνεπίδεκτα γὰρ ταῦτα ἀλλήλοις· οὕτω καὶ τὸν μέλλοντα ἐν ἀγαθῷ βίῳ γενέσθαι, πάσης προσήκει τῆς ἐπὶ τὸ κακὸν συναφείας ἀπαλλαγῆναι. Οὐ γὰρ χρόνου ποσότητι, διαθέσει δὲ ψυχῆς ἡ μετάνοια κρίνεται. Οἱ δὲ χωρισθέντες τοῦ κενοῦ βίου, καὶ πρὸς τὴν θειοτέραν ζωὴν ἑαυτοὺς ἀσκοῦντες, μὴ ἐφ' ἑαυτοῖς, μηδὲ κα-

πωμόνας ἀσκεῖσθωσαν· ἐμμαρτυρεῖ γὰρ εἶναι προσήκει τὸν τοιοῦτον βίον, ὡς δὲ ἐκτὸς εἶναι πονηρᾶς ὑποψίας. Καὶ εἴ τις πάλαι δελεασθεὶς, ἢ πλούτου κόνιν ἐξ ἀδικίας ἐφ' ἑαυτὸν συνεφόρησε, καὶ τὸν νοῦν ταῖς τούτου μερίμναις κατέδησεν, ἢ μῦσος ἀσελγείας προσῆψε τῇ φύσει δυσέκνιπτον, ἢ τῶν ἄλλων ἐγκλημάτων ἐπλήρωσεν ἑαυτὸν, οὗτος ὡς ἔτι καιρὸς, πρὶν ἐλθεῖν εἰς τελείαν ἀπώλειαν, ἀποθέσθω τῶν φορτίων τὰ πλείονα· καὶ πρὶν ὑποβρύχιον γενέσθαι τὸ σκάφος, ἐκβολὴν ποιησάσθω τῶν ἀγωγίμων, ἃ μὴ δεόντως συνέλεξε. Τὰ χρήματα ἐκβληθέντα καλῶς, οὔτε ἀπόλλυται τοῖς ἐκβαλοῦσι καὶ ῥίψασιν, ἀλλ' ὥσπερ εἰς ὁλκάδας ἄλλας ἀσφαλεστέρας τινὰς τὰς τῶν πενήτων μετατεθέντα γαστέρας, διασώζεται, καὶ φθάνει πρὸς λιμένας ἐλθόντα, καὶ φυλάττεται τοῖς ἐκβαλοῦσι κόσμος.

Τὰ γὰρ χρόνῳ κρατυνθέντα πάθη, πρω-

τοῦ μὲν χρόνου δεῖται πρὸς τὴν διόρθωσιν, ἔπειτα ἰσχυρᾶς καὶ ἐνεργωτέρας διαγωγῆς, εἰ μέλλοι τις τοῦ βάθους αὐτοῦ καθικνεῖσθαι, ὥστε πρόρριζα ἐξελεῖν τὰ χρόνῳ μακρῷ ταῖς ψυχαῖς ἐνριζωθέντα. Τοιαύτη ἡ ἐμμελὴς τῶν Νινευϊτῶν μετάνοια, καὶ ἡ σοφὴ καὶ πεπυκνωμένη θλῖψις ἐκείνη, ἥτις οὐδὲ τὰ ἄλογα ἀσυντελῆ τῆς τιμωρίας ἀφῆκεν, ἀλλὰ καὶ αὐτὰ βοᾶν ἐξ ἀνάγκης ἐμηχανήσατο· ἐχωρίσθη γὰρ τῆς βοὸς ὁ μόσχος, ἀπῃλάθη τῆς μητρῴας θηλῆς ὁ ἀρνειός· παιδίον ἐπιμάζιον, οὐκ ἦν ἐν ταῖς τῆς τεκούσης ἀγκάλαις ἐπιθηλάζον· φωναὶ δὲ παρὰ πάντων οἰκτραί, ἀλλήλαις ἀντιβοῶσαι καὶ ἀντηχοῦσαι· τὰ τέκνα λιμώττοντα, τὰς πηγὰς ἐζήτει τοῦ γάλακτος· αἱ μητέρες τῷ φυσικῷ πάθει διακοπτόμεναι, συμπαθέσι φωναῖς ἀνεκαλοῦντο τὰ ἔκγονα· τὰ βρέφη κατὰ τὸν ὅμοιον τρόπον λιμώττοντα, σφοδροτάτῳ κλαυθμῷ διερρήγνυντο καὶ ἀπέσπαι-

ερον· αἱ τεκοῦσαι, ταῖς φυσικαῖς ἀλγηδόσι κατεκεντοῦντο τὰ σπλάγχνα· ὁ πρεσβύτης, ἐπ᾽ ἐκείνων ἐθρήνει, καὶ τὴν πολιὰν ἔτιλλε καὶ ἐσπάραττεν· ὁ νεανίσκος καὶ ἀκμάζων, σφοδρότερον ἀπωδύρετο· ὁ πένης, ἐστέναξεν· ὁ πλούσιος, ἐπιλαθόμενος τῆς τρυφῆς, ᾔσχει, τὸ κακοπαθεῖν ὡς σώφρονα. Ὁ βασιλεὺς αὐτὸς τὴν λαμπρότητα καὶ τὴν δόξαν εἰς αἰσχύνην μετέβαλλεν, ἀπέθετο τὸν στέφανον, καὶ κόνιν ἐπὶ τῆς κεφαλῆς κατεχέετο· τὴν ἁλουργίδα ῥίψας, σάκκον μετημφιάσατο· τὸν θρόνον τὸν ὑψηλὸν ἀφεὶς καὶ μετέωρον, ἐλεεινῶς τῇ γῇ προσεσύρετο· τὴν ἰδιάζουσαν καὶ βασιλικὴν καταλιπὼν εὐστάθειαν, συνεθρήνει τῷ δήμῳ· εἷς ἐγίνετο τῶν πολλῶν, ὅτε τὸν κοινὸν πάντων δεσπότην ἔβλεπεν ὀργιζόμενον. Τοῦτο δούλων εὐγαθῶν φρόνημα, διότι τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μετάνοια, ἵνα διὰ πάσης ἡλικίας ἡ σκυθρωπότης κρατήσῃ αἰσθομένης

τε καὶ ἀνιαθήτου, τῆς μὲν κατὰ προαίρεσιν, τῆς δὲ κατ' ἀνάγκην. διὰ τοῦτο ἰδὼν αὐτοὺς ὁ θεὸς οὕτως ταπεινωθέντας, ὡς ἐπὶ τῷ προβαίνουσαν ἑαυτῶν ταλαιπωρίαν παρθενῆ κατακρίναντας, καὶ τὸ πάθος ἠλέησε, καὶ τῆς τιμωρίας ἀνῆκε, καὶ τὸ χαίρειν ἐδωρήσατο τοῖς ἀνιαθήτως πενθήσασιν. ἴδετε γὰρ τὸ τοῦ θεοῦ φιλανθρωπίας, τὸ μὴ σιωπῇ τὰς κολάσεις ἐπάγειν, ἀλλὰ προκηρύσσειν διὰ τῶν ἀπειλῶν. προκαλούμενος εἰς μετάνοιαν τοὺς ἡμαρτηκότας. οὕτως γὰρ καὶ τούτοις πεποίηκε διὰ τοῦ Ἰωνᾶ· καὶ τῷ Ἰσραὴλ ἡμαρτηκότι, οὐ σιωπῇ ἐπήγαγε τὸν ἀφανισμὸν, ἀλλὰ κινῶν εἰς τὴν ὑπὲρ τοῦ λαοῦ δικαίαν τὸν ἑαυτοῦ θεράποντα, προεκήρυσσε λέγων, ἄφες με, καὶ ἐξαλείψω τὸν λαὸν τοῦτον.

Παραπλησίως δέ τι καὶ ἐν τῷ εὐαγγελίῳ περὶ τῆς κατὰ τὴν συκῆν παραβολῆς μεμαθήκαμεν, τοῦ δεσπότου αὐτῆς λέγοντος τῷ γεωργῷ, ἰδοὺ τρία ἔτη ἔρχομαι ἐπὶ τὴν

συκῆν ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ μὴ εὑρίσκων· ἔκκοψον αὐτὴν· ἵνα τί καὶ τὴν γῆν καταργῇ. Τοιγαροῦν πρὸς ἵνα καιρὸν ὑπερτιθέμεθα τὴν μετάνοιαν· οὐκ ἐκνήψομεν, οὐκ ἀνακαλεσόμεθα ἑαυτοὺς ἀπὸ τοῦ κατὰ συνήθειαν βίου πρὸς τὴν ἀκρίβειαν τοῦ εὐαγγελίου; οὐκ ἐν ὀφθαλμοῖς ληψόμεθα τὴν ἡμέραν κυρίου τὴν φοβερὰν ἐκείνην καὶ ἐπιφανῆ, ἐν ᾗ τοὺς μὲν τῇ δεξιᾷ τοῦ κυρίου διὰ τῶν πράξεων προσεγγίζοντας βασιλεία οὐρανῶν ὑποδέξεται· τοὺς δὲ πρὸς τὴν ἀριστεράν, διὰ τῆς ἐρημίας τῶν ἀγαθῶν ἔργων ἀπεγνωσμένους, γέεννα πυρὸς, καὶ σκότος αἰώνιον κατακρύψει, ἐκεῖ ἔσται, φησὶν, ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Αλλ' ἡμεῖς, τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόμως, ὀλιγώρως δὲ καὶ ῥαθύμως ἀναλαμβάνομεν τὴν μετάνοιαν.

Καὶ βασιλείας μὲν οὐρανῶν ἐπιθυμεῖν λέγομεν, ἐξ ὧν δὲ ἔστιν αὐτῆς ἐπιτυχεῖν

οὐ φροντίζομεν· ἀλλὰ μηδένα πόνον ὑπὲρ ἐντολῆς τοῦ θεοῦ καταδεχόμενοι, τὴν ἴσην ἡμῖν τεύξεσθαι τοῖς μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστᾶσιν, ἐν τῇ ματαιότητι τοῦ νοὸς ἡμῶν ὑπερτιθέμεθα.

Ἁψώμεθα, τούτῳ ἁψώμεθά ποτε τῆς φροντίδος τῶν ψυχῶν ἡμῶν ἀδελφοί· λυπηθῶμεν ἐπὶ τῇ ματαιώσει τοῦ παρελθόντος βίου· ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων, μὴ τῇ ῥαθυμίᾳ καὶ τῇ ἐκλύσει ταύτης ἐναπομείνωμεν· καὶ τὸ μὲν παρὸν ἀεὶ διὰ ῥαθυμίας προϊέμενοι, πρὸς δὲ τὸ αὔριον καὶ τὸ ἐφεξῆς τὴν ἀρχὴν τῶν ἔργων ὑπερτιθέμενοι, εἶτα καταληφθέντες ὑπὸ τοῦ ἀπαιτοῦντος τὰς ψυχὰς ἡμῶν, ἀπαρασκεύαστοι τῶν ἀγαθῶν ἔργων, τῆς μὲν χαρᾶς τοῦ νυμφῶνος ἀποβληθῶμεν, τὸν κακῶς παρεθέντα τοῦ βίου χρόνον ὀδυρόμενοι τότε, ὅτε πλέον οὐδὲν ἔξεσται τοῖς μεταμελουμένοις.

Οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος τῆς

ἀνταποδόσεως· ὥσπερ τῆς ἐργασίας, ἐκεῖνος τῆς μισθαποδοσίας· ὥσπερ τῆς ὑπομονῆς, κἀκεῖνος τῆς παρακλήσεως. νῦν βοηθὸς τῶν ἐπιστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ θεός, τότε φοβερὸς καὶ ἀπαραλόγιστος τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἐνθυμημάτων ἐξεταστής. νῦν τῆς μακροθυμίας ἀπολαύομεν, τότε τὴν δικαιοκρισίαν γνωρίσομεν, ὅταν ἀναστῶμεν, οἱ μὲν εἰς κόλασιν αἰώνιον, οἱ δὲ εἰς ζωὴν αἰώνιον, καὶ ἀπολάβῃ ἕκαστος κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ὑμῖν δὲ ὅσοι ἐπεσυγνάβατε τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο ἐντελλόμεθα, ἐὰν μὲν εἴδητε μετανοοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσι νενοσηκόσιν· ἐὰν δὲ ἀπαυθαδιζομένους καὶ καταφρονοῦντας τῆς ἡμετέρας ἐπ᾽ αὐτοῖς λύπης αἰσθήσεσθε, ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτησθε· ἵν᾽ οὕτως οἱ μὲν ἐντραπέντες, εἰς

ἐπίγνωσιν ἔλθωσι τῆς οἰκείας κακίας· ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ἀποδέξησθε παρὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν τε ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΚ ΤΩΝ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ τρὸς ἡμῶν Βασιλείου, λόγ. θ.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.



ΡΗ τὴν προσευχὴν μὴ ἐν συλλαβαῖς ἡμᾶς ἐκπληροῦν, ἀδελφοὶ, ἀλλὰ προαιρέσει μᾶλλον ψυχῆς, καὶ πράξεσι ταῖς κατ᾽ ἀρετὴν παντὶ τῷ βίῳ παρεκτεινομέναις. οὐδὲ γὰρ ἡγούμεθα τὸν θεὸν τῆς διὰ τῶν λόγων ὑπομνήσεως δεῖσθαι, ἀλλ᾽ εἰδέναι καὶ

μὴ αἰτούντων ἡμῶν τὰ χρήσιμα. Ἡ γὰρ θεία ἀκοὴ, οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν· οἶδε γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπιζητούμενα. ἢ οὐκ ἀκούεις ὅτι Μωϋσῆς μηδὲν φθεγγόμενος, ἀλλὰ τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ κυρίῳ, ἤκουσε παρὰ τοῦ κυρίου λέγοντος, τί βοᾷς πρός με. Οἱ δὲ ἐν τῷ βίῳ μὲν μηδὲν κατορθοῦντες, ἐν δὲ τῇ παρατάσει τῆς προσευχῆς νομίζοντες δικαιοῦσθαι, τούτων ἀκουέτωσαν τῶν ῥημάτων, ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Οὐ γὰρ ἁπλῶς τὰ ῥήματα τῆς προσευχῆς ὠφελεῖ, ἀλλὰ τὸ μετὰ σπουδαίας διαθέσεως ἀναπέμπεσθαι· ἐπεὶ καὶ ὁ φαρισαῖος ταῦτα πρὸς ἑαυτὸν προσηύχετο; οὐχὶ πρὸς τὸν θεόν. ἐπανήρχετο γὰρ πρὸς ἑαυτὸν, ἐπείπερ ἐν

ἁμαρτία τῆς ὑπερηφανίας ἐγένετο· διὰ
τοῦτο καὶ ὁ σωτήρ, προσευχόμενοι δὲ μὴ βατ-
τολογεῖτε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν
τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται, καὶ
τὸ ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρ-
τίαν. Τοῦτό ἐστι τὸ αἴτιον τοῦ ἀποστρέφε-
σθαι τοὺς ὀφθαλμοὺς τοῦ θεοῦ, ὅταν ἐκτα-
θῶσιν αἱ χεῖρες, διότι τὰ τῆς ἱκετηρίας σύμ-
βολα, παροξυσμοῦ εἰσὶν ἀφορμαί· ὥσπερ γὰρ
εἴ τις υἱὸν τινος φονεύσας ἀγαπητόν, ἔτι ᾑ-
μαγμένας τὰς χεῖρας ἔχων, προτείνοι αὐ-
τὰς τῷ πατρὶ χαλεπαίνοντι, δεξιὰν φι-
λίας αἰτούμενος, ἆρ' οὐχὶ φανὲν τοῦ τέκνου
τὸ αἷμα ἐν τῇ χειρὶ τοῦ παιδοφόνου, μᾶλ-
λον εἰς ὀργὴν τὸν ἠδικημένον ἐγείρει; τοι-
αῦταί εἰσι καὶ αἱ τῶν ἰουδαίων εὐχαί, ὅταν
ἐκτείνωσιν τὰς χεῖρας, εἰς τὸν μονογενῆ υἱὸν
ἁμαρτίας ἀναμιμνησκόντων τὸν θεὸν καὶ πα-
τέρα, καὶ καθ' ἑκάστην ἔκτασιν, τὰς χεῖρας
ἑαυτῶν τοῦ αἵματος τοῦ Χριστοῦ πλήρεις

ἐπιδεικνυόντων. οἱ γὰρ ἐπιμένοντες τῇ πωρώσει, τῆς πατρικῆς μιαιφονίας κληρονόμοι ὑπάρχουσι. τὸ γὰρ αἷμα αὐτοῦ, φησίν, ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Διὰ πάντος τοίνυν μέμνησο τοῦ θεοῦ, ἄνθρωπε, καὶ ἔχε τὸν φόβον αὐτοῦ ἐν τῇ καρδίᾳ σου, καὶ πάντας εἰς τὴν κοινωνίαν τῶν εὐχῶν παράλαμβανε. μεγάλη γὰρ ἐστὶν ἡ τῶν δυναμένων δυσωπεῖν τὸν θεὸν βοήθεια. καὶ γὰρ ἐστὶ ζῶσιν ἡμῖν τὴν ἐν τῇ σαρκὶ ταύτην ζωήν, ἀγαθὴ ἔσται βοηθὸς ἡ προσευχή· καὶ ἀπερχομένοις ἐντεῦθεν, ἐφόδιον διαρκὲς πρὸς τὸν αἰῶνα τὸν μέλλοντα. Ὥσπερ δὲ ἡ φροντὶς πρᾶγμά ἐστιν ἀγαθόν, οὕτω πάλιν ἡ ἀθυμία, καὶ ἡ ἀπόγνωσις, καὶ τὸ δυσελπίστως ἔχειν πρὸς σωτηρίαν, τῶν βλαπτόντων ἐστὶ τὴν ψυχήν. ἐπέλπιζε τοίνυν τῇ ἀγαθότητι τοῦ θεοῦ, καὶ ἐκδέχου αὐτοῦ τὴν ἀντίληψιν, γινώσκων ὅτι ἐὰν καλῶς καὶ γνησίως πρὸς αὐτὸν ἐπιστραφῶμεν, οὐ μόνον οὐκ ἀπορρίψει

ἀπορρίψῃ ἡμᾶς εἰς τὸ παντελές, ἀλλ' ἔτι λαλούντων λείπηται τὰ ῥήματα τῆς προσευχῆς ἐρεῖ, ἰδοὺ πάρειμι. Τίς γὰρ πιστεύων εἶναι πανταχοῦ τὸν θεὸν, καὶ παρεῖναι τοῖς γινομένοις, καὶ ἑκάστῃ πράξει παρεστάναι, καὶ ταῖς βουλαῖς τὴν καρδίαν ἐνορᾶν, ἢ τὴν ἔννοιαν τὴν πονηρὰν παραδέχεται, ἢ τελεσιουργεῖ τὸ κακόν· ἀλλ' ἢ μὴ ἐφορᾶν τὸν θεὸν, ἢ μὴ μέλειν αὐτῷ τῶν γινομένων ὑπολαμβάνοντες, οὕτως ὁρμῶσι πρὸς τὰς ἀνοσίας πράξεις οἱ ἄνθρωποι. Ἀρχὴ δὲ καθάρσεως τῇ ψυχῇ ἡσυχία, μήτε γλώσσης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψυχῆς ἐκλυούσης ἐν ἀκροάμασι μελῶν πρὸς ἡδονὴν πεποιημένων, μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνδρῶν, ὃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. νοῦς γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθη-

τηρίων ἐπὶ τὸν κόσμον διαφερόμενος, ἐπιστρέφῃ μὲν πρὸς ἑαυτὸν, δι' ἑαυτοῦ δὲ πρὸς τὴν περὶ θεοῦ ἔννοιαν ἀναβαίνῃ. κἀκείνῳ τῷ κάλλει περιλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνῃ, μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν τὴν ψυχὴν καθελκόμενος, ἀλλὰ σχολὴν ἀπὸ τῶν γηΐνων φροντίδων ἄγων, τὴν πᾶσαν ἑαυτοῦ σπουδὴν ἐπὶ τὴν κλῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι.

Μὴ οὖν καταδέξῃ διὰ τὸ κατὰ τὸν ὕπνον ἀναισθησίας, τὸ ἥμισυ τῆς ζωῆς ἀχρειοῦν, ἀλλὰ μεριζέσθω σοι τῆς νυκτὸς ὁ χρόνος, εἴς τε ὕπνον καὶ προσευχήν. ἀλλὰ καὶ οἱ ὕπνοι αὐτοὶ μελέτημα ἔστωσαν τῆς εὐσεβείας. πεφύκασι γάρ πως αἱ κατὰ τὸν ὕπνον φαντασίαι ὡς τὰ πολλὰ, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Τί δὲ μακαριώτερον ἀνθρώπου, τοῦ εὐθὺς μὲν ἀρχομένης ἡμέρας, εἰς εὐχὰς ὁρμῶντος, καὶ ὕμνοις

καὶ ᾠδαῖς γεραίροντες τὸν κτίσαντα, εἶτα ἡλίου καθαρῶς ἐπιλάμψαντος ἐπὶ ἔργα τρεπομένους, πανταχοῦ αὐτοῖς τῆς εὐχῆς συμπαρούσης, καὶ τοῖς ὕμνοις ὥσπερ ἅλατι παραρτύειν τὰς ἐργασίας. ὃ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Εὐχαὶ δὲ πρὸ τῆς τροφῆς ἀξίως γινέσθωσαν τῶν τοῦ θεοῦ παροχῶν, ὧν τε νῦν δίδωσι, καὶ ὧν πρὸς τὸ μέλλον ἐταμιεύσατο· εὐχαὶ καὶ μετὰ τὰς τροφὰς, εὐχαριστίαν τῶν δεδομένων ἔχουσαι, καὶ αἴτησιν τῶν ἐπηγγελμένων. εὐχὴ δὲ καλὴ, ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ θεοῦ ἔννοιαν τῇ ψυχῇ. τοῦτο γάρ ἐστι θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἔχειν ἐνιδρυμένον ἐν ἑαυτῷ τὸν θεόν· οὕτω γινόμεθα ναὸς θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται. ἀλλὰ πάντα ἀποφυγὼν, ἐπὶ θεὸν ἀναχωρῇ, ἐξελαύνων τὰ προσ-

καλούμενα αὐτὸν εἰς ἀκρασίαν πάθη, καὶ τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβων. Καὶ ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστί, τοῦτο τοῖς τῆς εὐσεβείας ἀγωνισταῖς, τὸ μεσονύκτιον, μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης, οὔτε ὀφθαλμῶν, οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας παραπεμπόντων ἐπὶ καρδίαν, ἀλλὰ καὶ μόνου καθ' ἑαυτὸν τοῦ νοῦ τῷ θεῷ συνόντος, καὶ διορθουμένου μὲν ἑαυτὸν ἐν τῇ μνήμῃ τῶν ἡμαρτημένων, ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ, καὶ τὴν παρὰ θεοῦ συνεργίαν, εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος.

Τοῦτο καὶ ἡ κατὰ Μωϋσέα παραινίσσεται ἱστορία, ὅτι διὰ τοὺς προσκόπτοντας μὴ ἐξομαλίζειν τὰς πράξεις, ἀλλὰ ποτὲ μὲν κρεῖττον βιοῦν, ποτὲ δὲ δι' ἀτονίαν ἐκλύεσθαι, καὶ ἀσθενέστερον ἐνεργεῖν, τῆς ἀνθρωπίνης καταστάσεως σύμβολα ἦν τὰ τότε γι-

νόμενα. εἰ μὲν γὰρ ἐπῆρε τὰς χεῖρας, ἐνίσχυεν Ἰσραήλ· ὅτε δὲ καθῆκε τὰς χεῖρας, ἐνίσχυεν Ἀμαλήκ· τουτέστι, καταπιπτούσης ἡμῖν τῆς δραστικῆς δυνάμεως, ἰσχύει τὰ ἀντιπαλαίοντα ἡμῖν· ὑψουμένης δὲ καὶ διαιρομένης, δυνατώτερον γίνεται τὸ διορατικὸν ἐν ἡμῖν. ἐπαίρει μὲν γὰρ, ὁ τὰ ἄνω ζητῶν· ἐκτείνει δὲ, ὁ τῆς εἰς τὰ σωματικὰ βοηθείας ἐπιδεόμενος. Ὁ τοίνυν ἐν τῷ ναῷ τοῦ θεοῦ γενόμενος, οὐ κακολογίαν, οὐ ματαιότητα, οὐκ αἰσχρῶν πραγμάτων ῥήματα ἀπαγγέλλει, ἄπαγε· ἀλλ' ἐν τῷ ναῷ αὐτοῦ κατὰ τὸν Δαβὶδ, πᾶς τις λέγει δόξαν· ἑστήκασιν οἱ ἀπογραφόμενοι τὰ ῥήματα ἄγγελοι, πάρεστιν ὁ κύριος τὰς διαθέσεις τῶν εἰσιόντων ἐπισκοπῶν· ἡ προσευχὴ ἑκάστου πεφανέρωται τῷ θεῷ, τίς ἐκ διαθέσεως, τίς ὑπισημμένως ἐπιζητεῖ τὰ οὐράνια, τίς ἀφωσιωμένως ἄκροις τοῖς χείλεσι τὰ ῥήματα φθέγγεται, ἡ δὲ καρδία αὐτοῦ

πόῤῥω ἀπέχει ἀπὸ θεοῦ, κἂν εὔχηται ὑγίειαν σαρκὸς, κἂν σωματικὸν πλοῦτον, κἂν δόξαν ἀνθρωπίνην ἐπιζητῇ· δεῖ δὲ οὐδὲν τούτων, ὡς ὁ λόγος διδάσκει, ἀλλ᾽ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. Ἀλλ᾽ ὢ τοῦ θαύματος, οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ἄγγελοις ἔργον δοξολογεῖν τὸν θεὸν, πάσῃ τῇ στρατιᾷ τῶν ἐπουρανίων ἓν τοῦτο ἔργον, δόξαν ἀναπέμπειν τῷ κτίσαντι· ἡ κτίσις πᾶσα, ἥτε σιωπῶσα καὶ φθεγγομένη, ἥτε ὑπερκόσμιος ἥτε περίγειος δοξάζει τὸν κτίσαντα. ἄνθρωποι δὲ ἐλεεινοὶ, καταλιπόντες τοὺς οἴκους, καὶ δραμόντες ὡς δή τι ἑαυτοὺς ὠφελήσοντες, οὐχ ὑπέχουσι τὰς ἀκοὰς λόγοις θεοῦ, οὐ λαμβάνουσιν αἴσθησιν τῆς ἑαυτῶν φύσεως, οὐ λυποῦνται εἰς μνήμην τῶν ἁμαρτιῶν ἀφικνούμενοι, οὐ τρέμουσι τὴν κρίσιν, ἀλλὰ μειδιῶντες, καὶ τὰς δεξιὰς ἀλλήλοις ἐμβάλλοντες, τόπον μακρολογίας τὸν οἶκον ποιοῦνται τῆς προσευχῆς, παρα-

κούοντες τοῦ ψαλμῳδοῦ διαμαρτυρομένου καὶ λέγοντος, ὅτι ἐν τῷ ναῷ τοῦ θεοῦ πᾶς τις λέγει δόξαν. σὺ δὲ οὐ μόνον οὐ λέγεις, ἀλλὰ καὶ ἑτέρῳ ἐμπόδιον γίνῃ, ἐπιστρέφων πρὸς ἑαυτόν. μὴ γὰρ δόξης ἐπιδέεται ὁ θεός; ἀλλὰ σὲ βούλεται ἄξιον εἶναι τοῦ δοξασθῆναι, διότι ὃ σπείρει ἄνθρωπος, τοῦτο καὶ θερίσει. Χρὴ δὲ διδόντι μὲν τὰ ἀγαθὰ τῷ θεῷ χάριν εἰδέναι, ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν· καὶ εἰ μὲν παράσχοιτο συνεῖναι ταῦτα ἡμῖν, ἄριστά τε ὁμοῦ καὶ ἥδιστα ἡγησόμεθα· εἰ δὲ ἀναβάλλοιτο, πράως οἴσομεν τὴν ζημίαν. ἄμεινον γάρ που πάντως, ἢ ὡς ἂν ἡμεῖς προελοίμεθα, διοικεῖται τὰ ἡμέτερα. Ἀλκυὼν ἐστὶ θαλάττιον ὄρνεον· αὕτη παρ' αὐτοὺς νοσσεύειν τοὺς αἰγιαλοὺς πέφυκεν, ἐπ' αὐτῆς τὰ ὠὰ τῆς ψάμμου καταθεμένη, καὶ νοσσεύει κατὰ μέσον που τὸν χειμῶνα, ὅτε πολλοῖς καὶ βιαίοις ἀνέμοις ἡ θάλασσα τῇ γῇ προσαράσσεται· ἀλλ' ὅμως

χειμάζονται μὲν πάντες ἄνεμοι, ἡσυχάζει δὲ κῦμα θαλάσσιον, ὅταν ἀλκυὼν ἐπωάζῃ, τὰς ἑπτὰ ἡμέρας. ἐν ταύταις γὰρ μόναις ἐκλεπίζει τοὺς νεοττούς· ἐπεὶ δὲ καὶ τροφῆς αὐτοῖς χρεία, ἄλλας ἑπτὰ πρὸς τὴν τῶν νεοττῶν αὔξησιν ὁ μεγαλόδωρος θεὸς τῷ μικροτάτῳ ζώῳ παρέσχετο, καὶ ναυτικοὶ πάντες ἴσασι τοῦτο, καὶ ἀλκυονίδας τὰς ἡμέρας ἐκείνας προσαγορεύουσι.

Ταῦτά σοι εἰς προτροπὴν τοῦ αἰτεῖν παρὰ τοῦ θεοῦ τὰ πρὸς σωτηρίαν, διὰ τῆς περὶ τὰ ἄλογα τοῦ θεοῦ προνοίας νενομοθέτηται. Τί γὰρ οὐκ ἂν γένοιτο τῶν παραδόξων ἕνεκέν σου, ὃς κατ' εἰκόνα γέγονας θεοῦ, ὅπου γε ὑπὲρ ὄρνιθος οὕτω μικρᾶς, ἡ μεγάλη καὶ φοβερὰ κατέχεται θάλασσα, ἐν μέσῳ χειμῶνι γαλήνην ἄγειν ἐπιταχθεῖσα. εἰ γὰρ ἀλκυόνι τὰ τηλικαῦτα χαρίζεται, πόσῳ μείζονα δώσει τοῖς ἐξ ὅλης καρδίας ἐπιβοωμένοις αὐτόν. Πείσωμεν

τοιγαροῦν ἑαυτοὺς ἀδελφοί, καὶ ἐν ταῖς ἄλλαις ἡμῶν αἰτήσεσι, καὶ ἐν καιρῷ πειρασμοῦ, μὴ πρὸς ἀνθρωπίνας ἐλπίδας ἀποτρέχειν, μηδὲ ἐκεῖθεν ἑαυτοῖς τὰς βοηθείας θηρᾶσθαι, ἀλλ' ἐν δάκρυσι καὶ στεναγμοῖς, καὶ φιλοπόνῳ προσευχῇ, καὶ ἀγρυπνίᾳ συντόνῳ, τὰς δεήσεις ποιεῖσθαι. οὕτως γὰρ λαμβάνει βοήθειαν ἐκθλίψεως, καὶ τῆς ἀνθρωπίνης βοηθείας ὡς ματαίας καταφρονῶν, καὶ τῇ ἐπὶ τὸν σώζειν δυνάμενον ἡμᾶς ἐλπίδι στηριζόμενος. ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ-
τρὸς ἡμῶν Βασιλείου, λόγ. ι.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.



ΤΡΑΤΗΓΟΙ μὲν εἰς παράταξιν τὸν στρατὸν καθιστῶντες, τοῖς παρακλητικοῖς λόγοις πρὸ τῶν ἀγώνων κέχρηνται, καὶ τοσαύτην ἔχει δύναμιν ἡ παραίνεσις, ὥστε καὶ τοῦ θανάτου πολλάκις καταφρόνησιν ἐμποιεῖν· γυμνασταὶ δὲ καὶ παιδοτρίβαι πρὸς τοὺς ἐν τοῖς σταδίοις ἀγῶνας τοὺς ἀθλητὰς προσάγοντες, πολλὰ περὶ τοῦ χρῆναι πονεῖν ὑπὲρ τῶν στεφάνων διακελεύονται, ὥστε καὶ συνεπείσθησαν πολλοὶ τῇ περὶ τὴν νίκην φιλοτιμίᾳ, τῶν σωμάτων ὑπεριδεῖν. Τοίνυν καὶ ἐμοὶ τοὺς Χριστοῦ στρατιώτας πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον διαπάσ-

σοντι, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπὶ τοὺς τῆς δικαιοσύνης στεφάνους διὰ τῆς ἐγκρατείας παρασκευάζοντι, ἀναγκαῖος ὁ λόγος τῆς παρακλήσεως. Ἀγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν ἀπογραφόμενοι τοὺς νηστεύοντας, ὅρα μὴ διὰ μικρὰν ἡδονὴν βρωμάτων, ζημιωθῇς μὲν τὴν ἀπογραφὴν τοῦ ἀγγέλου, ὑπόδικον δὲ σεαυτὸν λειποταξίου γραφῆς τῷ στρατολογήσαντι καταστήσῃς. Ἐλάττων ὁ κίνδυνος, ῥίψασπιν ἐπὶ παρατάξεως ἐλεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τὴν νηστείαν ἀποβαλόντα φανῆναι. πλούσιος εἶ· μὴ καθυβρίσῃς τὴν νηστείαν, ἀπαξιώσας λαβεῖν αὐτὴν ὁμοτράπεζον, μηδὲ τῆς οἰκίας αὐτοῦ ἄτιμον ἀποπέμψῃ, παρευημερηθεῖσαν ὑπὸ τῆς ἡδονῆς, μή ποτέ σου καταγγείλῃ ἐπὶ τοῦ νομοθέτου τὴν νηστείαν, καὶ πολλαπλασίονά σοι ἀπὸ καταδίκης ἐπαγάγῃ τὴν ἔνδειαν, ἢ ἐξ ἀρρωστίας σώματος, ἢ ἐξ ἄλλης τινὸς σκυθρωπῆς

περιστάσεως. Ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν, πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων· γυναιξὶ δὲ, ὥσπερ τὸ ἀναπνεῖν, οὕτως τὸ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν· οἱ παῖδες, ὥσπερ τὰ φυτὰ τὰ εὐθαλῆ, τῷ τῆς νηστείας ὕδατι καταρδευέσθωσαν· τοῖς πρεσβύταις κοῦφον ποιεῖ τὸν πόνον ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις· πόνοι γὰρ ἐκ μακρᾶς συνηθείας μελετηθέντες, ἀλυπότεροι προσπίπτουσι τοῖς γεγυμνασμένοις· τοῖς ὁδοιπόροις εὐσταλὴς ἐστι συνέμπορος ἡ νηστεία. ὥσπερ γὰρ ἡ τρυφὴ ἀναγκάζει, τὰς ἀπολαύσεις περικομίζοντας, οὕτως κούφους αὐτοὺς καὶ εὐζώνους ἡ νηστεία παρασκευάζει. καὶ τοῖς μὲν τοῦ κόσμου στρατιώταις, κατὰ τὴν τῶν καμάτων ἀναλογίαν, τὸ σιτηρέσιον αὔξεται· τοῖς δὲ πνευματικοῖς ὁπλίταις, ὁ ἔλαττον ἔχων τῆς τροφῆς, τὸ μεῖζον ἔχει τοῦ ἀξιώματος. Ἄτοπον οὖν ἐστὶ μὴ χαίρειν ἐπὶ ὑγείᾳ

ψυχῆς, ἀλλὰ λυπεῖσθαι ἐπὶ βρωμάτων ἀπαλλαγῇ, καὶ πλείονα χάριν φαίνεσθαι διδόντας ἡδονῇ γαστρὸς, ἢ ἐπιμελείᾳ ψυχῆς. κόρος μὲν γὰρ εἰς γαστέρα τὴν χάριν ἵστησι, νηστεία δὲ πρὸς ψυχὴν ἀναβιβάζει τὸ κέρδος. Μὴ μιμήσῃ τῆς Εὔας τὴν παρακοήν· μὴ πάλιν σύμβουλον παραδέξῃ τὸν ὄφιν, φειδοῖ τῆς σαρκὸς τὴν βρῶσιν ὑποτιθέμενον· μὴ προφασίζου ἀῤῥωστίαν σώματος καὶ ἀδυναμίαν· οὐ γὰρ ἐμοὶ τὰς προφάσεις, ἀλλὰ τῷ εἰδότι λέγεις. Νηστεύειν οὐ δύνασαι εἰπέ μοι; κορέννυσθαι δὲ διὰ βίου, καὶ συντρίβειν τὸ σῶμα τῷ βάρει τῶν ἐσθιομένων δύνασαι; καὶ μὴν τοῖς ἀσθενοῦσιν, οὐχὶ βρωμάτων ποικιλίαν, ἀλλὰ ἀσιτίαν καὶ ἔνδειαν οἶδα τοὺς ἰατροὺς ἐπιτάσσοντας· πῶς οὖν ὁ ταῦτα δυνάμενος, ἐκεῖνα προφασίζῃ μὴ δύνασθαι. Τί εὐκολώτερον τῇ γαστρὶ, λιτότητι διαίτης παρενεγκεῖν τὴν νύκτα, ἢ δαψιλείᾳ βρωμάτων βεβαρημέ-

ἣν χεῖσθαι. Εἰ μὴ καὶ τοὺς κυβερνήτας φήσεις, βαρουμένην τοῖς ἀγωγίμοις ὁλκάδα εὐκολώτερον σώζειν τῆς εὐσταλεστέρας καὶ κούφης. τὴν μὲν γὰρ παραπεπιεσμένην τῷ πλήθει, βραχεῖα κύματος ἐπανάστασις κατεβάπτισεν· ἡ δὲ συμμέτρως τῶν ἀγωγίμων ἔχουσα, ῥᾳδίως ὑπεραίρει τοῦ κλύδωνος. Πλὴν οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγοῦμαι τὴν περὶ νηστείας παράκλησιν, ὅσον τοῦ μή τινα τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. τὴν μὲν γὰρ νηστείαν καὶ διὰ τὴν συνήθειαν, καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ, οἱ πολλοὶ καταδέχονται· φοβοῦμαι δὲ τὴν μέθην, ἣν ὥσπερ τινὰ κλῆρον πατρῷον οἱ φίλοινοι διασώζουσιν. ὡς γὰρ οἱ πρὸς τὰς μακρὰς ἀποδημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν νηστειῶν ἡμέρας οἰνίζονται.

Τί ποιεῖς ἄνθρωπε, οὐδεὶς γυναῖκα σεμνὴν νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων,

παλλακίδας καὶ ἑταίρας προσλαβὼν εἰσοικίζει. οὐ γὰρ ἀνέχεται ἡ νομίμη τὴν μετὰ τῶν διεφθαρμένων συνοίκησιν. μὴ τοίνυν καὶ σὺ προσδοκωμένης νηστείας προεισαγάγῃς τὴν μέθην, τὴν πάνδημον πόρνην, τὴν τῆς ἀναισχυντίας μητέρα, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἰδέαν ἀσχημοσύνης εὔκολον.

Τὸν νηστεύοντα εἴσω τῶν ἱερῶν περιβόλων παραδέχεται ὁ κύριος· τὸν κραιπαλῶντα, ὡς βέβηλον καὶ ἀνίερον οὐ προσίεται. ἐὰν γὰρ ἔλθῃς αὔριον οἴνου ἀπόζων, καὶ τούτου σεσηπότος, πῶς τὴν κραιπάλην εἰς νηστείαν σοι λογίσομαι. μὴ γὰρ ὅτι πρόσφατον οὐκ ἐνέχεας τὸν ἄκρατον, ἀλλ' ὅτι οὐ καθαρεύεις οἴνου, τοῦτο λογίζου. Ποῦ σε τάξω, ἐν τοῖς μεθύουσιν, ἢ ἐν τοῖς νηστευταῖς; ἡ παρελθοῦσα οἰνοφλυγία, πρὸς ἑαυτὴν ἐπισπᾶται· ἡ παροῦσα ἔνδεια, νηστείαν προσμαρτυρεῖ. ἀμφισβητήσιμος εἶ τῇ μέθῃ ὥσπερ ἀνδράποδον, καὶ οὐκ ἀφέξεταί σου δικαίως

ἐναργεῖς ταῖς ἀποδείξεσι τῆς δουλείας παρεχομένη, τὴν ὀσμὴν τοῦ οἴνου ὥσπερ ἀγγείω ἐναπομείνασαν. Τίνος διδασκάλου παρουσία, παίδων θόρυβον οὕτως ἀθρόως καθίστησιν, ὡς ἡ νηστεία παραφανεῖσα ταραχὴν πόλεως κατέστειλε. ποῖος κωμαστής, ἐν νηστείᾳ παρῆλθε· ποῖος χορὸς ἀσελγής ἀπὸ νηστείας συνέστη. ᾄσματα πορνικὰ καὶ ὀρχήσεις ἐκμανεῖς ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται, ὥσπερ ὑπὸ δικαστοῦ τινὸς αὐστηροῦ, τῆς νηστείας φυγαδευθεῖσαι. Εἰ δὲ πάντες αὐτὴν εἰς τὴν ὑπὲρ τῶν πρακτέων σύμβουλον παρελάμβανον, οὐδὲν ἐκώλυε βαθεῖαν εἰρήνην εἶναι κατὰ πᾶσαν τὴν οἰκουμένην, μήτε ἐθνῶν ἐπανισταμένων ἀλλήλοις, μήτε στρατοπέδων συῤῥηγνυμένων· οὐδ' ἂν ὅλως εἶχον αἱ ἐρημίαι τοὺς κακούργους, ἢ αἱ πόλεις τοὺς συκοφάντας, ἢ τοὺς καταποντιστὰς ἡ θάλασσα· οὐδ' ἂν οὕτως ἦν ὁ βίος ἡμῶν πολυστένακτος καὶ κατηφείας πλήρης,

πλήρης, εἰ νηστεία τὸν βίον ἡμῶν ἐπρυτάνευε· δηλονότι ἐδίδαξεν ἂν πάντας, οὐχὶ βρωμάτων μόνον ἐγκράτειαν, ἀλλὰ καὶ φιλαργυρείας, καὶ πλεονεξίας, καὶ πάσης κακίας παντελῆ φυγήν τε καὶ ἀλλοτρίωσιν. Αὕτη τὸν μέγαν Σαμψὼν ἐτιθηνήσατο, καὶ ἕως ὅτε συμπαρῆν τῷ ἀνδρὶ, κατὰ χιλίους ἔπιπτον οἱ πολέμιοι, καὶ πύλαι πόλεων ἀνεσπῶντο, καὶ λέοντες τὴν ἰσχὺν τῶν χειρῶν οὐχ ὑφίσταντο· ὅτε δὲ μέθη αὐτὸν καὶ πορνεία παρέλαβον, ἁλώσιμος ἦν τοῖς ἐχθροῖς· καὶ τῶν ὀφθαλμῶν στερηθεὶς, παίγνιον προέκειτο τοῖς παιδαρίοις τῶν ἀλλοφύλων. Νηστεύσας Ἠλίας, ἀπέκλεισε τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκούσιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε, δι᾽ ἧς πρὸς τὸ ἄμετρον ἤδη χεομένην αὐτῶν τὴν ἁμαρτίαν ἔστησεν, οἷον καυτηρίῳ τινὶ ἢ τομῇ, τῇ νηστείᾳ, τὸ εἰς τὸ πλέον προ-

οδὸν τοῦ κακοῦ διακόψας. Ἵνα γὰρ μαλάξῃ τὴν ἀμάλακτον καρδίαν τῶν σκληροτραχήλων, εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι ὁ δίκαιος· διὰ τοῦτο, ζῇ κύριος, εἰ ἔσται ὕδωρ ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου, φησίν. οὕτως ἀπέδωκε καὶ τῇ χήρᾳ τὸν παῖδα, ἰσχυρὸς φανεὶς κατὰ θανάτου διὰ νηστείας. Οὔτε δὲ εὐποιΐας ἐλπιζομένης ὄφελος, καὶ νηστείας δημοσιευομένης κέρδος οὐδέν. τὰ γὰρ ἐπιδεικτικῶς γινόμενα, οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλοντα τὸν καρπὸν ἐπεκτείνει, ἀλλ' εἰς τὸν τῶν ἀνθρώπων ἔπαινον καταστρέφει. Ἐλισσαίῳ δὲ ποταπὸς ὁ βίος πῶς μὲν παρὰ τῆς σουναμίτιδος τῆς ξενίας ἀπέλαυε· πῶς δὲ αὐτὸς τοὺς προφήτας ἐδεξιοῦτο· οὐχὶ λάχανα ἄγρια καὶ ἄλευρον βραχὺ τῆς φιλοξενίας ἐπλήρου, ὅτε καὶ τῆς πολύπης παραληφθείσης, κινδυνεύειν ἔμελλον οἱ ἀψάμενοι, εἰ μὴ τῇ ψυχῇ τοῦ νηστευτοῦ ἠμαυρώ-

θῃ τὸ δηλητήριον; καὶ ἅπαξ ἁπλῶς εὕρεις αὐτὴν νηστείαν πάντας τοὺς ἁγίους εἰς τὴν κατὰ θεὸν πολιτείαν χειραγωγήσασαν. Ἔστι τις φύσις σώματος ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρί· ἥτις ἐν μὲν τῇ φλογὶ κειμένη ἀπηνθρακῶσθαι δοκεῖ, ἐξαιρεθεῖσα δὲ καθαρωτέρα γίνεται. τοιαῦτα ἦν τὰ τῶν τριῶν παίδων ἐκείνων σώματα, ἐκ τῆς νηστείας ἔχοντα τὸ ἀμίαντον. ἐν γὰρ τῇ μεγάλῃ φλογὶ τῆς καμίνου, οἱονεὶ χρυσοῖ τὴν φύσιν ὄντες, οὕτω κρείττους τῆς ἀπὸ τοῦ πυρὸς διεδείκνυντο βλάβης. Ἤπου καὶ χρυσοῦ δυνατώτεροι διεδείκνυντο. οὐ γὰρ ἐχώνευεν αὐτοὺς τὸ πῦρ, ἀλλ᾿ ἐφύλαττεν αὐτοὺς ἀκεραίους· καίτοι οὐδὲν δὴ ἐκείνην γε τὴν φλόγα ὑπέστη, ἣν νάφθα καὶ πίσσα καὶ κληματίδες ἔτρεφον, ὡς ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις αὐτὴν διαχεῖσθαι, καὶ τὰ κύκλῳ αὐτῆς ἐπινεμομένην, πολλοὺς τῶν χαλδαίων ἐξαναλῶσαι. ἐκείνην τοίνυν τὴν

πυρκαϊὰν μετὰ νηστείας εἰσελθόντες, κατεπάτουν οἱ παῖδες, λεπτὸν ἀέρα καὶ ἔνδροσον ἐν οὕτω λάβρῳ τῷ πυρὶ ἀναπνέοντες. οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ νηστείας αὐτὰς ἐκτραφῆναι. Δανιὴλ δὲ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν, ὁ πρὸς ἑβδομάδας ἄρτον μὴ φαγὼν, καὶ ὕδωρ μὴ πιὼν, καὶ τοὺς λέοντας νηστεύειν ἐδίδαξεν, εἰσελθὼν εἰς τὸν λάκκον. ὥσπερ γὰρ ἐκ λίθου, ἢ χαλκοῦ, ἢ ἄλλης τινὸς στερροτέρας ὕλης ἐμπεπηγότι, ἐμβαλεῖν οὐκ εἶχον τοὺς ὀδόντας οἱ λέοντες· οὕτως οἱονεὶ βαφῇ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς ἡ νηστεία στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν.

Οὐκ ἂν κατετόλμησε Μωϋσῆς καπνιζομένης τῆς κορυφῆς προσβαλεῖν τῷ ὄρει, οὐδ' ἂν ἐθάῤῥησεν εἰσελθεῖν εἰς τὸν γνόφον, εἰ μὴ νηστείᾳ καθώπλιστο. διὰ τῆς νηστείας τὴν ἐντολὴν ὑπεδέξατο δακτύλῳ θεοῦ γραφεῖσαν ἐν ταῖς πλαξί· καὶ ἄνω μὲν ἡ

νηστεία νομοθεσίας πρόξενος γίνεται, κάτω δὲ ἡ γαστριμαργία εἰς εἰδωλολατρείαν ἐξέμηνε. τεσσαράκοντα γὰρ ἡμερῶν προσεδρείαν νηστεύοντος καὶ δεομένου τοῦ θεράποντος, ἄχρηστον ἀπέδειξεν οἰνοφλυγία μία. ἃς γὰρ ἡ νηστεία ἔλαβε πλάκας δακτύλῳ θεοῦ γεγραφυίας, ταύτας ἡ μέθη συνέτριψεν, οὐκ ἄξιον κρίναντος τοῦ προφήτου, μεθύοντα λαὸν νομοθετεῖσθαι παρὰ τοῦ θεοῦ. Τί τὸν Ἡσαῦ ἐβεβήλωσε, καὶ ἐποίησε δοῦλον τοῦ ἀδελφοῦ· οὐ βρῶσις μία, δι' ἣν ἀπέδοτο τὰ πρωτοτόκια; Τεσσαράκοντα Ἡλίας ἡμέραις νηστεία τὴν ψυχὴν ἀποκαθάρας, οὕτως ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρὴβ ἰδεῖν κατηξιώθη, ὡς δυνατὸν ἐστὶν ἰδεῖν ἀνθρώπῳ τὸν κύριον. Τίνων ἔπεσον τὰ κῶλα ἐν τῇ ἐρήμῳ· οὐ τῶν κρεωφαγίας ἐπιζητούντων; ἐκεῖνοι, ἕως μὲν ἠρκοῦντο τῷ μάννα καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι, αἰγυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον, οὐκ ἦν ἐν ταῖς φυλαῖς

αὐτὴν ὁ ἀσθενής· ὅτι δὲ ἐνεθυμήθησαν τῶν κρεῶν τῶν λεβήτων, καὶ ἐστράφησαν ταῖς ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας. Ἀλλ᾽ οὐδὲ νῦν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστεία διαυγεστέραν ἐποίησε τὴν ψυχήν. ἐκ γὰρ τῆς παχείας τροφῆς οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου πνεύματος ἐπιγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσι.

Καὶ ὕπνοι κοῦφοι καὶ ἀπαλλακτοὶ φυσικῶς ἀκολουθοῦσι τῷ λεπτῷ τῆς διαίτης, κατ᾽ ἐπιτήδευσιν δὲ, ταῖς περὶ τῶν μεγάλων μερίμναις διακοπτόμενοι. ὑπὸ γὰρ βαρεῖ κάρῳ κατακρατεῖσθαι, λυομένων αὐτοῦ τῶν μελῶν, ὥστε πολλὰς ἀλόγους φαντασίας παρέχει, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. Μωϋσῆς δευτέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας προσεδεήθη· καὶ Νινευΐταις, εἰ μὴ καὶ

τὰ ἄλογα συνενήστευσεν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς καταστροφῆς. Μέγα ἀγαθὸν ἀνθρώποις ἡ νηστεία, ἥτις ἀπόφασιν θεοῦ ἀνεκαλέσατο. ἐκηρύχθη ἐν Νινευῒ τριήμερος καταστροφή, καὶ ἐνίκησεν ἡ πρὸς τὸν θεὸν ἐπιστροφὴ τὴν καταστροφήν. ἡ γὰρ ἀπειλὴ τῆς καταστροφῆς διὰ τὴν ἐπιστροφὴν ἀνείθη, εὐγνωμόνως τοῦ Ἰωνᾶ κηρύσσοντος τὴν καταστροφήν, τῷ ὅπλῳ τῆς νηστείας ἔστησαν τὴν ἀπειλήν, καὶ τῷ φαρμάκῳ τῆς ἐξομολογήσεως καὶ προσευχῆς, ἐπεσπάσαντο τὴν σωτηρίαν. Τίς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν νηστείᾳ. ἀρίθμησον σήμερον τὰ ἔνδον, καὶ ἀρίθμησον τὰ μετὰ ταῦτα· οὐδὲν διὰ τὴν νηστείαν λείψει τῶν ἐν τῷ οἴκῳ· οὐδὲ ἓν ζῶον ὀδύρεται θάνατον, οὐδαμοῦ ἀπόφασις παρὰ τῆς ἀπαραιτήτου γαστρὸς ἐκφερομένη κατὰ τῶν ζώων, πέπαυται μαγείρων μάχαιρα, ἡ τράπεζα ἀρκεῖται τοῖς αὐτομάτοις. Τοῖς δὲ κομ-

φοις ἐγκρατηταῖς πρὸς τὸ σεμνὸν αὐτῆς
πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντες
ἐσθίομεν, ἐκεῖνο λεγέσθω, ὅτι καὶ τὰ περιτ-
τώματα ἡμῶν βδελυσσόμεθα. κατὰ μὲν γὰρ
τὴν ἀξίαν λάχανα χόρτου ἡμῖν ἐστὶ τὰ κρέα·
κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν,
ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ κα-
ταλλήλου χωρίζομεν· οὕτω καὶ ἐν τοῖς κρέα-
σι, τοῦ χρησίμου τὸ βλαβερὸν διακρινό-
μεν· ἐπεί τοι λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσ-
περ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔ-
τε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔ-
τε κυνὸς ἅψαιτο, εἰ μὴ μεγάλης ἀνάγκης
κατεπειγούσης, ὥς γε φαγὼν οὐκ ἠνόμη-
σεν. Ἀνάπαυσόν σου τὸν μάγειρον, δὸς ἀρ-
γίαν τῷ τραπεζοποιῷ, στῆσον τὴν χεῖρα
τῷ οἰνοχόῳ, παυσάσθω ποτὲ καὶ ὁ τῆς ποι-
κιλίας τῶν βρωμάτων ἐπιτηδεύων· ἡσυχα-
ζέτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μυρίων θορύ-
βων, καὶ τοῦ καπνοῦ καὶ τῆς κνίσης, καὶ τῶν

ἄνω καὶ κάτω διαπρεπόντων, καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσποίνῃ τῇ γαστρὶ λειτουργούντων. δότω ἵνα ἐκεχειρίαν καὶ ἡ γαστὴρ τῷ στόματι, δότω· ἀποσπάσθω ἡ μὲν πενθημέρους σπουδάς· καὶ ἀεὶ ἀπαιτοῦσα, καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον, καὶ αὔριον ἐπιλανθανομένη, ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων. Ἀλλὰ καιρὸς ἤδη λοιπὸν, καὶ πρὸς τὸν ἐπιτάττοντα ἡμῖν τὰ δυΐατα βασιλέα μικρὸν ἀπολογησαμένους, καταλῦσαι τὸν λόγον· φείσασθαι ἡμῶν θέλησον γαλωνότατε, τοσαῦτα ἡμῶν κεκλημένων, ὅσα δὴ τήμερον θελήσωμεν φαγεῖν, οὐκ ἐξαρκέσει ἡμῖν. ἀργεῖ γὰρ, ὡς εἰκὸς, παρ' ἡμῖν μαγείρων τέχνη, μάχαιρα δὲ αὐτῶν αἵμασιν οὐ προσομιλεῖ, τὰ βέλτιστα τῶν παρ' ἡμῖν βρωμάτων ἐν οἷς ἡ δαψιλεία, χόρτων φυλαὶ, σὺν ἄρτῳ βραχυ-

τούτῳ καὶ τῷ ἐξεστηκότι οἴνῳ, ὥστε μὴ ἐκθαμβεῖσθαι λίαν τὰ αἰσθητήρια ὑπὸ τῆς γαστριμαργίας, καὶ ἐπ' ἀφροσύνῃ μὴ πολιτεύεσθαι. Ὡς γὰρ ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν τῇ τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν, καὶ ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι· καὶ ὅσα ἐκ σπερμάτων παραψήματα, πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ σώματι δύναται διασώσασθαι· ἐσθίειν δὲ μὴ λυσσώδη γαστριμαργίαν ἐπιφαίνοντα, ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾶον, καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα. Ἀλλὰ τί πάθω· ὅταν μὲν ἀπίδω πρὸς τὸ πλῆθος τῶν εἰρημένων, ἔξω ἐμαυτὸν ὁρῶ τοῦ μέτρου φερόμενον· ὅταν δὲ πάλιν πρὸς τὸ ποικίλον τῆς ἐν πᾶσι τοῦ θεοῦ σοφίας ἀποβλέψω, οὐδὲ ἦρχθαι νομίζω τῆς διηγήσεως· ἅμα δὲ καὶ τὸ παρακατέχειν ἡμᾶς ἐπὶ πλεῖον, οὐκ ἀ-

χρῆσιν. τί γὰρ ἄν τις ποιοῖ τὸν μέχρι τῆς ἑσπέρας χρόνον; οὐκ ἐπείγουσιν ὑμᾶς οἱ ἑστιάτορες, οὐκ ἀναμένει ὑμᾶς τὰ συμπόσια· ὅθεν εἰ δοκεῖ, τῇ σωματικῇ νηστείᾳ εἰς τὴν τῶν ψυχῶν εὐφροσύνην ἀποχρησώμεθα.

Πολλάκις ὑπηρέτησας τῇ σαρκὶ πρὸς ἀπόλαυσιν, σήμερον τῇ διακονίᾳ παράμεινον τῆς ψυχῆς, κατατρύφησον τοῦ κυρίου, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. τί γὰρ ὄφελος νηστεύειν τῷ σώματι, τὴν δὲ ψυχὴν μυρίων κακῶν ἐμπεπλῆσθαι. ὁ μὴ κακὸν μὲν ἐργαζόμενος, σχολὴν δὲ ἄγων, τί οὐ φθέγγεται τῶν ματαίων, τί οὐκ ἀκούει τῶν ἀτόπων. σχολὴ γὰρ ἄνευ φόβου θεοῦ, πονηρίας διδάσκαλος τοῖς ἀναιρουμένοις ἐστί. Τάχα μὲν οὖν τι καὶ ὄφελος ἐν τοῖς λεγομένοις εὑρήσετε· εἰ δὲ μὴ, ἀλλὰ τό γε μὴ ἁμαρτάνειν ἐκ τοῦ ἐνταῦθα ὑμῖν ἀσχολίας περίεστιν, ὥστε ὅσῳ ἐπὶ πλέον κατέχειν, ἐπὶ πλέον ἐστὶν ὑμᾶς τῶν κακῶν ὑπεξάγειν,

καὶ πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν χειραγωγεῖν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι αὐτῷ πρέπει ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν τε ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. ια.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ.



ΤΟΥ θαύματος ἀγαπητοί, πῶς ἕκαστος ἡμῶν μετὰ τὸ τοὺς μητρῴους κόλπους ἀποφυγεῖν, εὐθὺς τοῖς τοῦ χρόνου ῥεύμασιν ἐνδεθεὶς συμπαρασύρεται, κατόπιν ἀεὶ τὴν βεβιωμένην ἡμέραν ἐᾷ, καὶ πρὸς τὴν χθὲς ἐπανελθεῖν οὐδέποτε κἂν θελήσοι δυνάμενος· ἡμεῖς δὲ ἡδόμεθα ἐπὶ τὰ πρόσω φερόμενοι, καὶ τὰς ἡλικίας ἀμείβοντες, ὥς τι προσλαμβάνοντες χαίρομεν, καὶ μακάριον κρίνομεν, ὅταν ἐκ παιδὸς μὲν ἀνήρ, ἐκ δὲ ἀνδρὸς γένηταί τις πρεσβύτης· ἀγνοοῦμεν δὲ ἄρα τοσοῦτον ἀπολλύντες ἑκάστοτε τῆς ζωῆς, ὅσον ἐζήσαμεν, καὶ οὐκ αἰσθανόμεθα δαπανωμένου τοῦ βίου, καὶ

τοί γε ἀεὶ μετροῦντες αὐτὸν ἀπὸ τοῦ προδραμόντος καὶ παραῤῥυέντος, οὐδὲ ἐννοοῦμεν ὡς ἄρα ἄδηλον ὁπόσον ὁ πρὸς τὴν ὁδοιπορείαν ταύτην ἐκπέμψας ἡμᾶς ἐνδοῦναι τῷ χρόνῳ βουλήσεται· οὐδὲ ἐθέλομεν σκοπεῖν ἀκριβῶς, ποῖα μὲν κοῦφα φορτία πρὸς τὸν τοιοῦτον δρόμον ἡμῖν καὶ συμμεθίστασθαι δύναται τοῖς συλλέξασι· ποῖα δὲ βαρέα, καὶ δυσχερῆ, καὶ προσηλωμένα τῇ γῇ, καὶ οὐ πεφυκότα τοῖς ἀνθρώποις οἰκειοῦσθαι καθάπαξ, οὐδὲ συγχωρούμενα διὰ τῆς στενῆς ἐκείνης πύλης ἀκολουθῆσαι τοῖς ἔχουσιν. Ἀλλ᾽ ὅσα μὲν χρὴ συλλέγειν καταλιμπάνομεν, ὧν δὲ ἡ ἀφορμὴ προσήκει, ταῦτα συλλέγομεν· καὶ ἃ μὲν ἡμῖν ἑνωθῆναι, καὶ κόσμος ὄντως γενέσθαι δύναται συμφυὴς ψυχῇ τε καὶ σώματι, τούτοις οὐδὲ προσέχομεν· ἃ δὲ ἀλλότρια μένει διηνεκῶς, μόνην ἡμῖν ἐναποτιθέμενα τὴν αἰσχύνην, ταῦτα ἀθροίζειν ἐπιχει-

ἔρδομεν, μοχθοῦντες διὰ κενῆς, καὶ ποιοῦντες πόνον, οἷς γ' ἴσως ἑαυτὸν ἀπατῶν, εἰς τετρημένον πίθον ἀντλεῖν ἐθελήσειεν. Ὥσπερ γὰρ οἱ τινὰ συντεταμένην πορείαν ἀνύοντες, ἐπὶ τὰ πρόσω τὰς τῶν ποδῶν βάσεις ἁμιλλωμένας ἀλλήλαις εἰς δρόμον ἀμείβοντες, καὶ τὴν ἀεὶ προτέραν ἐπὶ τῆς γῆς ἐρεισθεῖσαν, δευτέραν ἀποδεικνῦντες τῇ ταχείᾳ μεταθέσει τῆς ἀρχῆς, ῥᾳδίως ἐπὶ τὸ τῆς ὁδοῦ τέρμα χωροῦσιν· οὕτως οἱ πρὸς τὸ ζῆν παραχθέντες ὑπὸ τοῦ κτίσαντος, εὐθὺς ἐν ἀρχῇ τοῖς τοῦ χρόνου τμήμασιν ἐπεμβαίνοντες, καὶ τὸ πρότερον ἀεὶ καταλιμπάνοντες ὕστερον ἐπὶ τὸ πέρας φθάνουσι τῆς ζωῆς. καὶ γὰρ συνεχής τις ὁδὸς ὑφηπλῶσθαί μοι δοκεῖ ἡ παροῦσα ζωή, καὶ πορεία διειλημμένη ταῖς ἡλικίαις καθάπερ σταθμοῖς, ἀρχὴν μὲν ἑκάστῳ τῆς ὁδοιπορείας παρέχουσα τὰς τῶν μητέρων ὠδῖνας, τέρμα δὲ ἀποδεικνῦσα τοῦ δρόμου τὰς τῶν τάφων

σκηνάς· καὶ πρὸς ἐκείνας ἄπαντας ἄγοντα, τοὺς μὲν θᾶττον, τοὺς δὲ βραδύτερον, καὶ τοὺς μὲν διὰ πάντων τῶν τοῦ χρόνου διαστημάτων ὁδεύσαντας, τοῖς δὲ οὐδὲ τοῖς πρώτοις ἐπαυλισθέντας τοῦ βίου σταθμοῖς.

Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας θεός, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παροικίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος ἐτάξατο, κατὰ τοὺς ἀρρήτους αὐτοῦ τῆς σοφίας καὶ δικαιοσύνης λόγους. Ὥσπερ γὰρ οἱ ἐν ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχύτερον εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαί, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκά-

στου,

σου, σοφῶς, καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου θεοῦ.

Ὥσπερ γὰρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες, αὐτομάτως ὑπὸ τοῦ πνεύματος ἐπὶ λιμένας ἄγονται, κἂν αὐτοὶ μὴ αἰσθάνωνται, ἀλλ' ὁ δρόμος αὐτοὺς πρὸς τὸ τέλος ἐπάγει· οὕτω καὶ ἡμεῖς τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραρρέοντος, οἷόν τινι κινήσει συνεχεῖ καὶ ἀπαύστῳ, πρὸς τὸ οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα. Ὁδοιπόρος ἐφέστηκας τῷ βίῳ τούτῳ· πάντα παρέρχῃ, πάντα κατόπιν σου γίνεται· εἶδες ἐπὶ τῆς ὁδοῦ φυτὸν, ἢ πόας, ἢ ὕδωρ, ἢ ὅ,τι δήποτε τύχοι τῶν ἀξίων θεάματος, μικρὸν ἐτέρφθης, εἶτα παρέδραμες· πάλιν ἐνέτυχες λίθοις, καὶ φάραγξι, καὶ κρημνοῖς, καὶ σκοπέλοις, καὶ σκόλοψιν, ἤ που καὶ θηρίοις, καὶ ἑρπετοῖς, καὶ ἀκάνθαις, καὶ τισὶν ἄλλοις τῶν ὀχληρῶν, μικρὸν ἠνιάθης, εἶτα κα-

τέλιπες. Τοιοῦτος ὁ βίος, οὔτε τὰ τερπνὰ μόνιμα, οὔτε τὰ λυπηρὰ διαρκῆ κεκτημένος. σήμερον τὴν γῆν σὺ ἐγεώργησας, καὶ αὔριον ἄλλος, καὶ μετ᾽ ἐκεῖνον ἕτερος.

Ὁρᾷς τοὺς ἀγροὺς τούτους, καὶ τὰς πολυτελεῖς οἰκίας; πόσα ἤδη ὀνόματα, ἀφ᾽ οὗ γέγονε τούτων ἕκαστον, ἤμειψε. τοῦ δεῖνος ἐλέγετο, εἶτα μετωνομάσθη πρὸς ἕτερον· πρὸς τὸν δεῖνα μετῆλθεν, εἶτα νῦν ἄλλου λέγεται· ἆρα οὖν οὐχ ὁδὸς ἡμῶν ὁ βίος, ἄλλοτε ἄλλον μεταλαμβάνων, καὶ πάντας ἔχων ἀλλήλοις ἐφεπομένους; Τὰς μὲν οὖν ἄλλας ὁδοὺς, ὅσαι πρὸς πόλιν ἐκ πόλεως ἄγουσιν, ἔστιν ἐκκλῖναι, καὶ μὴ ὁδεῦσαι τὸν μὴ βουλόμενον· ἡ δὲ τῆς ζωῆς ταύτης ὁδὸς, κἂν ἡμεῖς ἀναβάλλεσθαι βουληθῶμεν τὸν δρόμον, παρελαύνουσα πρὸς βίαν, ἐπὶ τὸ τεταγμένον ὑπὸ τοῦ δεσπότου πέρας ἕλκει τοὺς ἐπ᾽ αὐτοῖς, καὶ οὐκ ἔστι τὸν ἅπαξ ὑπεκδραμόντα τὴν ἐπὶ τόνδε τὸν βίον

φέρουσαν πύλην, καὶ τῆς ὁδοῦ ταύτης ἐπιβάντα, μὴ καὶ πρὸς τὸ τέλος ταύτης ἐλθεῖν. Μὴ τοίνυν προτιμᾶτέ τι τῶν πολυτιμήτων τὰ ἀτιμότατα, μηδὲ κακοὶ συναλλάκται γίνεσθε, τὴν φθειρομένην ζωὴν τῆς ἀφθάρτου καὶ μακαρίας καταπαύσεως προτιμῶντες. ἄλλο γὰρ τῶν παθημάτων τῆς ἀτιμίας, οἷς οἱ πλεῖστοι τῶν φιληδόνων ὑπόκεινται, ἔτι καὶ αἱ κατὰ τὸν βίον χρεῖαι τῆς ψυχῆς τὸ μεγαλοφυὲς κατακάμπτουσαι, οἱονεὶ δουλοῦσαι αὐτὴν, πρὸς τὴν ὑπηρεσίαν τῆς σαρκὸς κατασύρουσαι, ὅπου δὲ δουλεία, ἐκεῖ δηλονότι καὶ ἀτιμία. φευκτέον οὖν τὴν ζωὴν, ᾗ τὸ ἄτιμον παραπέφυκεν. οὐδὲν γάρ φησι, μέγα ποιῶ, ἐμαυτόν σοι ἀποδιδοὺς τῷ δεσπότῃ· δοῦλος γὰρ ὢν σὸς, σοὶ προσάγω τὸ σὸν κτῆμα. πάντως γὰρ τοῦ κτίσαντος δοῦλον ὑπάρχει τὸ ἐκτισμένον. Τοιγαροῦν, ζῶντα μὲν ἐν τῇ σαρκὶ, πάροικον εἶναι προσήκει τὸν ἄνθρωπον·

μεταβαίνοντα δὲ ἀπὸ τῆς ζωῆς ταύτης, τοῖς οἰκείοις τόποις ἐνδιαπαύεσθαι· διὰ τοῦτο καὶ Ἀβραάμ, ἐν μὲν τῇ ζωῇ παροικεῖ τοῖς ἀλλοφύλοις, οὐδὲ βῆμα ποδὸς ἰδίας γῆς κεκτημένος· ἐν δὲ τῇ ταφῇ, οἰκείαν ἑαυτῷ τὴν δεξαμένην αὐτοῦ τὸ σῶμα γῆν ἀργυρίου ἐπραγματεύσατο. Μακάριοι οὖν τῷ ὄντι, μὴ ὡς οἰκείοις προστετηκέναι τοῖς ἐν τῇ γῇ, μηδὲ ὥσπερ πατρίδος τινὸς φυσικῆς, ἀντέχεσθαι τὴν ἐνταῦθα, ἀλλὰ τὴν ἐκ καταδίκης ἐνθάδε διαγωγὴν βαρυνομένους, οὕτω παροικεῖν, ὡς ὑπὸ δικαστῶν τινων ἐπί τισι πλημμελήμασιν εἰς τὴν ὑπερορίαν ἐκ τῆς ἐνεγκούσης ἀπελθόντας. Ἀλλὰ πλούτῳ κομᾷς καὶ ἐπὶ προγόνοις μεγαλοφρονεῖς, καὶ ἐπαγάλλῃ πατρίδι, καὶ κάλλει σώματος, καὶ ταῖς παρὰ πάντων τιμαῖς; εἶτα οὐκ οἶδας ὅτι θνητὸς εἶ; ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ; Περίβλεψαι τοὺς πρὸ σοῦ ἐν ταῖς ὁμοίαις πε-

ἐπιφανείαις ἐξετασθέντας, ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι, ποῦ οἱ δυσμαχώτατοι ῥήτορες, ποῦ οἱ στρατηγοὶ, οἱ σατράπαι, οἱ τύραννοι· οὐ πάντα κόνις, οὐ πάντα μῦθος; οὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα αὐτῶν; ἔγκυψον τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι τίς ὁ οἰκέτης, καὶ τίς ὁ δεσπότης· τίς ὁ πτωχὸς, καὶ τίς ὁ πλούσιος· διάκρινον, εἴ τίς σοι δύναμις, τὸν δέσμιον ἀπὸ τοῦ βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ τοῦ δυσειδοῦς· καὶ μεμνημένος τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ. Τί γὰρ ὄφελος πλουσίῳ ἀποθνήσκοντι, μὴ δυναμένῳ λαβεῖν τὸν πλοῦτον σὺν ἑαυτῷ, ὅς γε τοσοῦτον ἀπὸ τῆς ἀπολαύσεως ἐκέρδανε μόνον, ὅσον τὴν ψυχὴν αὐτοῦ ἐν τῇ ζωῇ ταύτῃ παρὰ τῶν κολάκων μακαρισθῆναι· ἐν δὲ τῷ ἀποθνήσκειν οὐ λήψεται πᾶσαν ταύτην τὴν περιβολήν· μόλις ἔνδυμα λήψεται καλύπτον αὐτοῦ τὰ

ἀσχήμονα, καὶ τοῦτο, ἐὰν δόξῃ τῶν οἰκετῶν τοῖς περιστέλλουσιν. Ἀγαπητὸν αὐτῷ, γῆς ὀλίγης λαχεῖν, καὶ ταύτης δι' οἶκτον διδομένης αὐτῷ παρὰ τῶν κηδευόντων, οἵτινες αὐτῷ παρέχονται ταῦτα αἰδοῖ τῆς κοινῆς καὶ ἀνθρωπίνης φύσεως, οὐκ αὐτῷ χαριζόμενοι, ἀλλὰ τιμῶντες τὴν ἀνθρωπότητα.

Ὥστε οὐδὲν τῶν ἐν τῷ βίῳ τερπνῶν, ἐφ' ὧν οἱ πλείους μεμήνασιν, ἡμέτερον ὄντως ἐστὶν, ἢ γενέσθαι πέφυκεν, ἀλλ' ὁμοίως ἁπάντων ἀλλότρια φαίνεται, τῶν τε ἀπολαύειν δοκούντων, τῶν τε οὐ προσπελαζόντων αὐτοῖς. οὐ γὰρ εἰ χρυσόν τινες ἐν τῷ βίῳ συναγάγοιεν ἄπλετον, ἴδιος αὐτῶν μένει διηνεκῶς, ἀλλὰ ἢ ζῶντας ἔτι παντάπασιν αὐτὸν περιφρονοῦντας ἀποδιδράσκει, πρὸς τοὺς δυνατωτέρους μεταῤῥυεὶς, ἢ πρὸς τῷ θανάτῳ γεγενημένους ἤδη καταλιμπάνει, καὶ οὐκ ἐθέλει τοῖς κτησαμένοις συνεκδημεῖν. Ἀλλ' οἱ μὲν ἀπὸ τοῦ πρὸς βίον

χωρίζοντος τὰς ψυχὰς τῆς ταλαιπώρου ταύτης σαρκὸς ἑλκόμενοι πρὸς τὴν ἀναγκαίαν ὁδὸν, πυκνὰ μεταστρεφόμενοι πρὸς τὰ χρήματα, τοὺς ἐκ νεότητος ἐπ' αὐτοῖς ἱδρῶτας ἀποδακρύουσιν· ὁ πλοῦτος δὲ εἰς ἑτέρων χεῖρας ὁρᾷ, μόνον ἐκείνοις τὸν ἐπὶ τῇ συλλογῇ μόχθον, καὶ ὃ τῆς πλεονεξίας ἔγκλημα, προσεστειλάμενος. Οὔτε εἰ ἐπὶ γῆς πλέθρα κτήσαιτό τις μυρία, καὶ μεγαλοπρεπεῖς οἰκίας, καὶ ζώων ἀγέλας παντοδαπῶν, καὶ τὴν ἐν ἀνθρώποις ἅπασαν περιβάλλοιτο δυναστείαν, ἀπολαύοι δι' αἰῶνος αὐτῶν· ἐπ' ὀλίγον δὲ ἀπὸ τούτων ὀνομασθεὶς, ἄλλοις πάλιν τῆς εὐπορίας ἐκστήσεται, βραχεῖαν γῆν αὐτὸς ὑποδύς· πολλάκις δὲ καὶ περὶ τοῦ τάφου, καὶ περὶ τῆς ἐντεῦθεν ἀπαναστάσεως, εἰς ἑτέρους καὶ πολεμίους τυχὸν, τὴν εὐπραγίαν ὄψεται μεταβαίνουσαν. Η οὐκ ἴσμεν, ὁπόσοι μὲν ἀγροὶ, πόσαι δὲ οἰκίαι, πόσα δὲ ἔθνη καὶ πό-

λὰς, καὶ τὴν ἔπι τὴν κληϛαμένων, ἑτέρων ὀνόματα μετημφιάσαντο διαπαντὸς· καὶ ὡς οἱ μὲν πάλαι δουλεύοντες ἐπὶ τοῦ τῆς ἀρχῆς θρόνου ἀνέβησαν, οἱ δὲ κύριοι καὶ δεσπόται καλούμενοι, εἶναι μετὰ τὴν ἀρχομένων ἠγάπησαν, καὶ τοῖς ἑαυτῶν δούλοις ὑπέκυψαν, ὥσπερ ἐν κύβων περιτροπαῖς μεταπεσόντων ἀθρόως τῶν πραγμάτων αὐτοῖς.

Ὅταν ἴδης βοτάνην χόρτου, καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, ὅτι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς, καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, κυριωτάτης παρὰ τῷ προφήτῃ τετύχηκε τῆς εἰκόνος. Ὁ σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν, ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς σφριγῶν, καὶ σφο-

τινος, καὶ ἀνυπόστατος τὴν ὁρμήν, αὔριον αὐτὸς ἔσται νεκρός, ἢ τῷ χρόνῳ μαρανθείς, ἢ νόσῳ διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ, καὶ πλῆθος περὶ αὐτὸν κολάκων, δορυφορεία φίλων προσποιητῶν τὴν ἀπ' αὐτοῦ χάριν θεραπευόντων, πλῆθος συγγενείας, καὶ ταύτης κατεσχηματισμένης, ἑσμὸς τῶν ἐφεπομένων μυρίος, τῶν τε ἐπὶ σιτίων, καὶ τῶν κατ' ἄλλας χρείας αὐτῷ προσεδρευόντων, εἰς καὶ προϊών, καὶ πάλιν ἐπανιών, καὶ ἐπισυρόμενος, ἐπίφθονός ἐστι τοῖς ἐντυγχάνουσι. Γέγηθες ἐπὶ πλούτῳ καὶ πολιτικὴν δυναστείαν, ἢ καὶ τὰς ἐκ βασιλέων τιμάς, ἢ ἐθνῶν ἐπιμέλειαν, ἢ στρατοπέδων ἡγεμονίαν, τὸν κήρυκα μέγα περὶ αὐτοῦ βοῶντα, τοὺς ῥαβδούχους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας, τὰς πληγάς, τὰς δημεύσεις, τὰς ἀπαγωγάς, τὰ δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ τοῦ ὑπο-

χρείων συναθροίζεται φόβος. Καὶ τί μετὰ τοῦτο· μία νὺξ, καὶ πυρετὸς εἷς, πλευρίτης, ἢ περιπνευμονία, ἀνάρπαστον ἐξ ἀνθρώπων ἀπάγουσα τὸν ἄνθρωπον οἴχεται, πᾶσαν τὴν κατ' αὐτὸν σκηνὴν ἐξαπίνης ἀπογυμνώσασα· καὶ ἡ δόξα ἐκείνη, ὥσπερ ἐνύπνιον ἀπηλέγχθη· ὥστε ἐπιτέτευκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος τῆς ἀνθρωπίνης δόξης ὁμοίωσις. Ἀλλὰ ἵνα ἡμῖν εὐπρόσωπον αἰτίαν τῆς φειδωλίας οἱ περὶ τὴν ζωὴν ταύτην ἐπτοημένοι προβάλλονται· οὐ πωλῶ τὰ ὑπάρχοντα, οὐδὲ δίδωμι τοῖς πτωχοῖς, διὰ τὰς ἀναγκαίας χρείας τοῦ βίου· ἀλλ' ἀπολαύσας αὐτῶν παρὰ πᾶσάν μου τὴν ζωὴν, μετὰ τὴν τελευτὴν τοῦ βίου διαδόχους ποιήσομαι τῶν ἐμοὶ προσόντων τοὺς πένητας. Ὅτε οὐκ ἔτι ἔσῃ ἐν ἀνθρώποις, τότε γενήσῃ φιλάνθρωπος; ὅταν νεκρόν σε ἴδω, τότε εἴπω φιλάδελφον; πολλή σοι χάρις τῆς φιλοτι-

μίας, ὅτι ἐν τῷ μνήματι κείμενος, καὶ εἰς γῆν διαλυθεὶς, ἁδρὸς γίνῃ ταῖς δαπάναις καὶ μεγαλόψυχος. Ποίων, εἰπέ μοι, χάριν τοὺς μισθοὺς ἀπαιτήσεις, τῶν ἐν τῇ ζωῇ, ἢ τῶν μετὰ τὴν ἀποβίωσιν; ἀλλ' ὃν μὲν ἔζης χρόνον καθηδυπαθῶν, καὶ τῇ τρυφῇ διαρρέων, οὐδὲ προσβλέπειν ἠνείχου τοὺς πένητας. ποία μὲν πρᾶξις, ποῖος δὲ μισθὸς ἐργασίας ὀφείλεται· δεῖξον τὰ ἔργα, καὶ ἀπαίτει τὰς ἀντιδόσεις. οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν πανήγυριν πραγματεύεται, οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπελθὼν στεφανοῦται, οὐδὲ μετὰ τοὺς πολέμους ἀνδραγαθίζεται· οὐ τοίνυν οὐδὲ μετὰ τὴν ζωὴν εὐσεβὴς δηλονότι. ἐπὶ γὰρ μέλανι καὶ γράμμασι καταπαγγέλλῃ τὰς εὐποιΐας, τίς ἀπαγγελεῖ σοι τὸν καιρὸν τῆς ἐξόδου, τίς ἐγγυητὴς ἔσται τοῦ τρόπου τῆς τελευτῆς· πόσοι ὑπὸ βιαίων ἀνηρπάσθησαν συμπτωμάτων, οὐδὲ φωνὴν ῥῆξαι συγχωρηθέντες ὑπὸ τοῦ πάθους.

Τί ἀναμένεις καιρὸν, ἐν ᾧ πολλάκις οὐδὲ τῶν λογισμῶν τῶν σεαυτοῦ ἔσῃ κύριος· νὺξ βαθεῖα, καὶ ἡ νόσος βαρεῖα, καὶ ὁ βοηθῶν οὐδαμοῦ. εἶτα περιβλεψάμενος ὧδε κἀκεῖσε, καὶ ἰδὼν τὴν περιεστῶσάν σε ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας, τότε στενάξεις τὴν ἄνοιαν, εἰς ὃν καιρὸν ἐταμιεύου τὴν ἐντολὴν, ἐν τῇ ζωῇ μὲν ἀπολαύων τῶν ἡδονῶν, ἀποθανὼν δὲ διαπραττόμενος τὰ διατεταγμένα. ὅτε ἔζης, σεαυτὸν τῆς ἐντολῆς προετίθης· μετὰ δὲ τὸν θάνατον, τότε τὴν ἐντολὴν τῶν ἐχθρῶν προτιμᾷς. ἵνα γὰρ μὴ λάβῃ, ὁ δεῖνα λαβέτω, φησὶν ὁ Χριστὸς, καὶ τί τοῦτο· ἐχθρῶν ἄμυνα, ἢ τοῦ πλησίον ἀγάπη. Μὴ τοίνυν ὀδυρώμεθα τὰς ἐντεῦθεν ἐξόδους, καὶ μάλιστα τῶν ὁσίων ἀνδρῶν, ἀλλὰ τὰς γενέσεις μᾶλλον, καὶ τὰς εἰς τὴν ζωὴν ταύτην παρόδους. ἡ μὲν γὰρ εἰς τὸν κόσμον τοῦτον εἴσοδος, δι᾽ ἀτιμίας ἐστὶ ῥύπου καὶ δυσωδίας, καὶ ὧν οὐδ᾽ ἂν τὴν

θεὸν εὐκόλως ἀνάγοιτό τις τῆς ζωῆς ἡμῶν καθηγουμένων. Διὰ γὰρ τῶν τοιούτων ἡ πρόοδος τῆς σαρκίνης γενέσεως ὑπὸ τῆς φύσεως ἀναγκαίως νενομοθέτηται, ἡ δὲ ἔξοδος καὶ ἡ ἀπαλλαγὴ ἡ ἐντεῦθεν, τιμία καὶ περιφανὴς, οὐ πάντων ἀνθρώπων, ἀλλὰ τῶν ὁσίως καὶ δικαίως τὸν ἐνταῦθα βίον διενεγκόντων. Ἄτιμος γὰρ ὁ θάνατος, οὐχὶ τιμία τῶν ἀνθρώπων ἡ γένεσις. σπείρεται γάρ φησιν, ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. καὶ ὅτε μὲν ἰουδαϊκῶς ἀπέθνησκον οἱ ἄνθρωποι, βδελυκτὰ ἦν τὰ θνησιμαῖα· ὅτε δὲ ὑπὲρ Χριστοῦ ὁ θάνατος, τίμια τὰ λείψανα τῶν ὁσίων αὐτοῦ. Περὶ τούτου ἐλέγετο τοῖς ἱερεῦσι καὶ τοῖς ναζιραίοις, τὸ, οὐ μιανθήσεται ἐπ' οὐδενὶ τεθνηκότι· καὶ τὸ, ἐάν τις ἅψηται νεκροῦ, ἀκάθαρτος ἔσται· καὶ τὸ, πλυνεῖς αὐτοῦ τὰ ἱμάτια· νῦν δὲ ὁ ἁψάμενος ὀστέου μάρτυρος, λαμβάνει τινὰ μετουσίαν ἁγιασμοῦ ἐκ

τῆς τοῦ σώματος προεδρευούσης χάριτος. ἕτοιμος γὰρ ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. σύγκρινον τοίνυν τῇ γενέσει τὸν θάνατον, καὶ παῦσαι ὀδυρόμενος τὸν τῆς ἀτιμίας ἀπαλλασσόμενον. Δικαίοις μὲν γὰρ συσκιρτᾶν καὶ συναγάλλεσθαι, ὁ θεῖος λόγος ἡμῖν ἐπιτρέπει· τοῖς δ᾽ ἐκ μετρίας ἀφεῖσθαι δάκρυον, συμπενθεῖν καὶ συνοδύρεσθαι, καὶ τοὺς ἀναλγήτως διακειμένους ἀποκλαίεσθαι, ὅτι οὐδὲ ἴσασι πῶς ἀπόλλωνται· οὐχὶ δὲ ἐπὶ θανάτῳ ἀνθρώπων καταχλαύσοντα τοῖς πενθοῦσι, πληρωτὴν προσήκει νομίζειν εἶναι τῆς ἐντολῆς. οὐδὲ γὰρ ἰατρὸν ἐπαινῶ τὸν ἀντὶ τοῦ βοηθεῖν τοῖς κάμνουσιν ἑαυτὸν τῶν νοσημάτων ἀναπιμπλάμενον. Οὕτω καὶ ὁ Δαβὶδ τὸν φίλον ὀλοφυρόμενος Ἰωνάθαν, συναποθρηνῶν καὶ τὸν ἐχθρὸν ἑαυτοῦ, ἀλγῶ ἐπὶ σέ, λέγων, ἀδελφὲ Ἰωνάθαν, καὶ θυγατέρες Ἱερουσαλὴμ θρηνήσατε ἐπὶ Σαούλ. τὸν μὲν γὰρ θρηνεῖ, ὡς

ἐναποθανόντα τῇ ἀμβρτίᾳ, τὸν δὲ Ἰωνάθαν, ὡς μέχρι παντὸς αὐτῷ κεκοινωνήσαντα τοῦ βίου. Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἑκάστου ἔπηξεν ἡ δικαία τοῦ θεοῦ κρίσις, πόῤῥωθεν τὸ περὶ ἑκάστου ἡμῖν συμφέρον προβλεπομένου.

Ἀλλὰ παιδὸς ἀγαπητοῦ θάνατος ἐκπιέζει σου τὴν ψυχήν; καὶ τίς οὕτω λίθινος τὴν καρδίαν, ἢ ἔξω παντελῶς τῆς ἀνθρωπίνης φύσεως, ὥστε ἀπαθῶς ἐνεγκεῖν τὸ συμβάν, ἢ μετρίῳ πάθει τὴν ψυχὴν καταληφθῆναι. οἴκου λαμπροῦ διαδοχὴ, ἔρεισμα γένους, πατρίδος ἐλπὶς, γονέων εὐσεβῶν βλάστημα, ὑπὸ μυρίαις εὐχαῖς ἐντραφὲν, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ὢν, ἐκ μέσου τῶν πατρικῶν χειρῶν ἀναρπασθεὶς οἴχεται. Ταῦτα ποίαν ἀδάμαντος φύσιν οὐχ ἱκανὰ ἐκλῦσαι, καὶ εἰς συμπάθειαν ἀγαγεῖν· ἀλλ' ἐὰν μὴ ποτνιᾶσθαι

ἐπὶ τοῖς συμβᾶσι, καὶ δακρύειν βουλώμεθα, οὐκ ἐξαρκέσει μὲν ὁ χρόνος τοῦ βίου, πάντες δὲ ἄνθρωποι μεθ' ἡμῶν στένοντες, παρεστάναι ἀπαθῆ τὸν ὀδυρμὸν οὐ δυνήσονται· ἀλλὰ κἂν τὰ τῶν ποταμῶν ῥεύματα δάκρυον γίνηται, ἐκπληρῶσαι τῶν συμβάντων τὸν θρῆνον οὐκ ἐξαρκέσει. Διὸ παρακαλῶ, ὡς γενναῖον ἀγωνιστὴν στῆναι πρὸς τὸ μέγεθος τῆς πληγῆς, καὶ μὴ ὑποπεσεῖν τῷ βάρει τῆς λύπης, μηδὲ καταποθῆναι τὴν ψυχὴν, ἐκεῖνο πεπεισμένον, ὅτι κἂν οἱ λόγοι τῶν παρὰ θεοῦ ᾠκονομημένων διαφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν, ἀπόδεκτόν ἐστι, κἂν ἐπίπονον ᾖ. αὐτὸς γὰρ οἶδε, πῶς ἑκάστῳ διατίθησι τὸ συμφέρον, καὶ διὰ τί ἄνισα τίθησιν ἡμῖν τοῦ βίου τὰ πέρατα. ἔστι γάρ τις ἀνθρώποις αἰτία ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσ-

ταλαιπωρεῖν

ταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπανόμενοι. Ὥστε ἐπὶ πᾶσι περισκοπεῖν αὐτοῦ τὴν φιλανθρωπίαν ὀφείλομεν, καὶ μὴ δυσχεραίνειν, μεμνημένοι τῆς μεγάλης ἐκείνης καὶ ἀοιδίμου φωνῆς, ἣν ὁ μέγας ἀθλητὴς Ἰὼβ ἐφθέγξατο, ἐπὶ μιᾶς τραπέζης ἰδὼν δέκα παῖδας ἐν βραχείᾳ καιροῦ ῥοπῇ συντριβέντας, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο, ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. Ἡμέτερον τοῦτο τὸ θαῦμα ποιησώμεθα, ἴσος ὁ μισθὸς παρὰ τοῦ δικαίου κριτοῦ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις ἀνδραγαθήματα. Οὐκ ἀπεστερήθημεν τοῦ παιδὸς, ἀλλ' ἀπεδώκαμεν τῷ χρήσαντι. Οὐκ ἠφανίσθη αὐτοῦ ἡ ζωὴ, ἀλλ' ἐπὶ τὸ βέλτιον διημείφθη· οὐ γῆ κατέκρυψε τὸν ἀγαπητὸν, ἀλλ' οὐρανὸς ὑπεδέξατο· μικρὸν ἀναμείνωμεν, καὶ συνεσόμεθα τῷ ποθουμένῳ.

Οὐδὲ πολὺς ὁ χρόνος τῆς διαστάσεως τῶν ὄντων, ὥσπερ ἐν ὁδῷ τῷ βίῳ τούτῳ,

πρὸς τὸ αὐτὸ καταγώγιον ἐπειγομένων, ἐν ᾧ ὁ μὲν προκατέλαβεν, ὁ δὲ ἐπῆλθεν, ὁ δὲ ἐπείγεται, πάντας δὲ ἓν ὑποδέχεται τέλος. εἰ γὰρ καὶ θᾶττον τὴν ὁδὸν κατέλυσεν, ἀλλὰ πάντες τὴν αὐτὴν πορευόμεθα, καὶ πάντας τὸ αὐτὸ ἀναμένει κατάλυμα.

Ἀναμνήσθητι τοῦ σοῦ παιδὸς, ὅτι τέθνηκε· τί οὖν θαυμαστὸν, ἐκ θνητοῦ γεννηθέντα, θνητοῦ γενέσθαι πατέρα· τὸ δὲ πρὸ ὥρας, καὶ πρὶν κορεσθῆναι τοῦ βίου, καὶ πρὶν εἰς μέτρον ἡλικίας ἐλθεῖν, καὶ φανῆναι τοῖς ἀνθρώποις, καὶ διαδοχὴν τοῦ γένους καταλιπεῖν, ταῦτα οὐκ αὔξησις τοῦ πάθους, ἀλλὰ παραμυθία τοῦ γεγονότος ἐστὶν, ὅτι μὴ κατέλιπεν ὑπὲρ γῆς ὀρφανὰ τέκνα· ὅτι μὴ γυναῖκα χήραν θλίψει μακρᾷ ἔκδοτον ἀφῆκεν, ἢ ἀνδρὶ ἑτέρῳ συνοικοῦσαν, καὶ τῶν προτέρων τέκνων καταμελοῦσαν. τὸ δὲ, ὅτι οὐ παρετάθη τῷ βίῳ τούτῳ ἡ ζωὴ τοῦ παιδὸς, τίς οὕτως ἀγνώμων, ὡς μὴ τὸ μέ-

γιστον τῶν ἀγαθῶν τοῦτο νομίζειν εἶναι. ἢ γὰρ ἐπὶ πλεῖον ἐνταῦθα διατελεῖν, πλειόνων κακῶν ἐστὶν ἀφορμή. Τίνος ἕνεκεν οὐχὶ θνητὰ φρονεῖν περὶ τοῦ θνητοῦ προήχθης, ἀλλ' ἀπροσδόκητον τοῦ παιδὸς τὸν θάνατον προσεδέξω. ὅτε σοι πρῶτον ἠγγέλθη τοῦ υἱέως ὁ τοκετός, εἴ τίς σε εἴρετο ποταπόν ἐστι τὸ τεχθὲν, τί ποτ' ἂν ἀπεκρίνω· ἆρα ἄλλο τι ἂν εἶπες, ἢ ὅτι ἄνθρωπός ἐστι τὸ γεννηθέν· εἰ δὲ ἄνθρωπος, καὶ θνητὸς δηλονότι. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός. οὐχ ὁρᾷς ἥλιον ἀνατέλλοντα καὶ δυόμενον; οὐχ ὁρᾷς τὴν σελήνην αὔξουσαν, εἶτα φθίνουσαν; οὐ τὴν γῆν θάλλουσαν, εἶτα ξηραινομένην; τί οὖν θαυμαστὸν, εἰ καὶ ἡμεῖς μέρος ὄντες τοῦ κόσμου, ἀπολαυόμεθα τῶν ἐκ τοῦ κόσμου. Παιδὸς ἀγαπητοῦ, ἢ γυναικὸς καταθυμίας, ἢ ἄλλου τινὸς τῶν φιλτάτων καὶ κατὰ πᾶσαν εὔνοιαν συνημμένων στέρησις, οὐδὲν δεινὸν τῷ προεσκεμμένῳ, καὶ τὸν ὀρ-

θὸν λόγον ἡγεμόνα τῆς ζωῆς ἔχοντι, ἀλλὰ μὴ κατὰ συνήθειαν ἵνα προθυμοῦμαι. ἔθος γὰρ χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐπὶ διαφορώτατος· καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτοῦ, καὶ ὁμοζύγου τελευτήσαντος, καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφοδρῶς τῆς συνηθείας ἐστὶν ἰδεῖν αὐτὰ παθήματα. Ἀλλὰ γὰρ οὐκ ἐνόμισα δίκαιον εἶναι παραλιπεῖν τὸ ἐπιβάλλον ἐμοὶ, καὶ μὴ καὶ πρὸς σὲ τὴν ἐκείνου μητέρα τὸν λόγον τρέψαι. οἶδα γὰρ ποταπὰ τῶν μητέρων τὰ σπλάγχνα, καὶ λογίζομαι πόσην εἰκὸς ἐπὶ τοῖς παροῦσιν εἶναι τὴν ἀλγηδόνα.

Παῖδα ἐζημιώθης, ὃν περιόντα μὲν ἐμακάριζον πᾶσαι μητέρες, καὶ ηὔξαντο τοὺς ἑαυτῶν τοιούτους εἶναι· ἀποθανόντα δὲ ἐστέναξαν, ὡς ἑκάστη τὸν ἑαυτῆς τῇ γῇ καταχρύψασα; ἐκείνου ὁ θάνατος, πληγὴ τῆς πατρίδος ἐγένετο· ἐκείνῳ τὸ μέγα καὶ περιφανὲς γένος συγκατέπεσεν, ὥσπερ ἐρείσματος

ὑφαιρεθέντος κατασφαγέν. ὦ σκευώρημα πονηροῦ δαίμονος· πόσον ἴσχυσε κακὸν ἐξεργάσασθαι· ὦ γῆ τοιοῦτον ἀναγκασθεῖσα ὑποδέξασθαι πάθος· ἔφριξε τάχα καὶ ὁ ἥλιος εἴ τις αἴσθησις αὐτῷ, τὸ σκυθρωπὸν ἐκεῖνο θέαμα· καὶ τί ἄν τις τοσοῦτον εἴποι, ὅσον ἡ ἀμηχανία τῆς ψυχῆς ὑποβάλλει. Ἀλλ' οὐ γὰρ ἀπρονόητα τὰ ἡμέτερα, ὡς μεμαθήκαμεν ἐν τῷ εὐαγγελίῳ, ὅτι οὐδὲ στρουθίον πίπτει ἄνευ θελήματος τοῦ πατρὸς ἡμῶν· ὥστε εἴ τι γέγονε, θελήματι γέγονε τοῦ κτίσαντος ἡμᾶς· τῷ δὲ βουλήματι τοῦ θεοῦ τίς ἀνθέστηκε. Καταδεξώμεθα τὸ συμβάν· δυσχεραίνοντες γὰρ, οὔτε τὸ γενόμενον διορθούμεθα, καὶ ἑαυτοὺς προσαπόλλυμεν· μὴ κατηγορήσωμεν τῆς δικαίας κρίσεως τοῦ θεοῦ· ἀμαθεῖς ἐσμὲν, ὥστε τὰ ἄρρητα αὐτοῦ κρίματα δοκιμάζειν. νῦν σου λαμβάνει τὴν δοκιμὴν ὁ κύριος τῆς πρὸς αὐτὸν ἀγάπης· νῦν σοι πάρεστι καιρὸς, διὰ τῆς ὑπο-

μονῆς, τὴν μερίδα τῶν μαρτύρων λαβεῖν.

Η τῶν μακκαβαίων μήτηρ, ἑπτὰ παίδων εἶδε θάνατον, καὶ οὐκ ἀνεστέναξεν, οὐδὲ ἀφῆκεν ἀγεννὲς δάκρυον, ἀλλ᾽ εὐχαριστοῦσα τῷ θεῷ, ὅτι ἔβλεπεν αὐτοὺς πυρὶ, καὶ σιδήρῳ, καὶ ταῖς χαλεπωτάταις αἰκίαις τῶν δεσμῶν τῆς σαρκὸς λυομένους, εὐδόκιμος μὲν παρὰ θεῷ, ἀοίδιμος δὲ παρὰ ἀνθρώποις ἐκρίθη. μέγα τὸ πάθος; φημὶ κἀγώ· ἀλλὰ μεγάλοι καὶ οἱ παρὰ τοῦ κυρίου μισθοὶ τοῖς ὑπομένουσιν ἀποκείμενοι. ὅτε ἐγένου μήτηρ, καὶ εἶδες τὸν παῖδα, καὶ ηὐχαρίστησας τῷ θεῷ, ἤδεις πάντως ὅτι θνητὴ οὖσα θνητὸν ἐγέννησας· τί οὖν παράδοξον εἰ ἀπέθανεν ὁ θνητός. ἀλλὰ λυπεῖ ἡμᾶς τὸ παρὰ καιρόν; ἄδηλον εἰ μὴ εὔκαιρον τοῦτο, ἐπεὶ ἡμεῖς καὶ οὐκ ἐπίστανται τὰ συμφέροντα ταῖς ψυχαῖς, καὶ ὅρους παρεθεσμίας ἀνθρωπίνης ζωῆς οὐκ ἐπιστάμεθα. Περίβλεψαι τὸν κόσμον ἅπαντα ἐν ᾧ κατοικεῖς, καὶ ἐννόη-

σον ὅτι πάντα θνητὰ τὰ ὁρώμενα, καὶ πάντα φθαρτὰ ὑποκείμενα. ἀνάβλεψον πρὸς τὸν οὐρανὸν, καὶ οὗτος ποτὲ λυθήσεται· πρὸς τὸν ἥλιον, οὐδὲ οὗτος διαμένει· οἱ ἀστέρες σύμπαντες, ζῶα χερσαῖα καὶ ἔνυδρα, τὰ περὶ γῆν κάλλη, αὐτὴ ἡ γῆ, πάντα φθαρτὰ, καὶ πάντα μικρὸν ὕστερον οὐκ ἐσόμενα.

Η τούτων ἔννοια, παραμυθία ἔστω τοῦ συμβεβηκότος. μὴ καθ' ἑαυτὸ μέτρει τὸ πάθος· ἀφόρητον γὰρ οὕτω φανεῖταί σοι· ἀλλὰ τοῖς ἀνθρωπίνοις πᾶσι συγκρίνουσα, ἐντεῦθεν εὑρήσεις αὐτοῦ τὴν παραμυθίαν. ἐπὶ πᾶσι δὲ ἐκεῖνο εἰπεῖν ἰσχυρὸν ἔχω, φείσαι τοῦ ὁμοζύγου· ἀλλήλοις γίνεσθε παραμυθία· μὴ ποιήσῃς αὐτῷ χαλεπωτέραν τὴν συμφορὰν, τῷ πάθει ἑαυτὴν καταναλίσκουσα. ὕποπτον γὰρ ἡμῖν ἐστι τὸ ἄγαν σου φιλότεκνον, μή ποτε ἔκδοτον δῷς σαυτὴν τῷ πάθει δι' ἁπαλότητα ἠθῶν, βαθεῖαν τὴν πληγὴν δεξαμένη τῆς λύπης. Οὐδὲν γὰρ τῶν

συμβαινόντων ἡμῖν ὡς λυπηρὸν ὑποδέχεσθαι χρὴ, καὶ πρὸς τὸ παρὸν ἄπληπται τῆς ἀσθενείας ἡμῶν. εἰ γὰρ καὶ τοὺς λόγους ἀγνοοῦμεν, καθ' οὓς ἕκαστον τῶν γινομένων, ὡς καλὸν, παρὰ τοῦ δεσπότου ἡμῖν ἐπάγεται, ἀλλ' ἐκεῖνο πεπεῖσθαι ὀφείλομεν, ὅτι πάντως συμφέρει τὸ γινόμενον, ἢ ἡμῖν διὰ τὸν τῆς ὑπομονῆς μισθὸν, ἢ τῇ παραληφθείσῃ ψυχῇ, ἵνα μὴ ἐπιπλέον τῇ ζωῇ ταύτῃ ἐπιβραδύνασα, τῆς ἐμπολιτευομένης τῷ βίῳ κακίας ἀναπλησθῇ. Εἰ μὲν γὰρ ἐν τῇ ζωῇ ταύτῃ ἡ τῶν χριστιανῶν ἐλπὶς περιώριστο, εἰκότως χαλεπὸν ἂν ἐνομίσθη τὸ θᾶττον διαζευχθῆναι τοῦ σώματος· εἰ δὲ ἀρχὴ τοῦ ἀληθινοῦ βίου τοῖς κατὰ θεὸν ζῶσιν ἐστὶ τὸ τῶν δεσμῶν τούτων τῶν σωματικῶν τὴν ψυχὴν ἐκλυθῆναι, τί λυπούμεθα, ὡς καὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Ἀλλ' ἀνδρὸς φιλτάτου στέρησις δυσυπομόνητόν σοι τὴν συμφορὰν ἐμποιεῖ· κἀγὼ συνίστημι. ὅτι μὲν

γὰρ λυπηρὰ συμφορὰ τοῦ πάθους τοῦ κατὰ τὸν ἄριστον τῶν ἀνδρῶν ἐκεῖνον, ἅπαντες ἴσμεν· πάντως γὰρ οὐδεὶς οὕτως ἐστὶ λιθίνην ἔχων τὴν καρδίαν, ὃς εἰς πεῖραν ἀφικόμενος τοῦ ἀνδρὸς ἐκείνου, εἶτα ἀκούσας αὐτὸν ἀθρόον ἐξ ἀνθρώπων διαρπασθέντα, οὐχ ὡς κοινὴν ζημίαν τοῦ βίου τὴν τούτου στέρησιν ἐλογίσατο. Εἰ δὲ τοῖς πόρρω τῆς οἰκειότητος οὕτω βαρὺ καὶ δύσφορον τὸ συμβάν, πῶς εἰκὸς ὑπὸ τοῦ πάθους τὴν σὴν διατεθῆναι ψυχὴν, οὕτως ὑποκειμένην τῷ πάθει, ὥστε οἱονεὶ διχοτομίας τινὸς αἰσθάνεσθαι, ἐν τῷ τοῦ φιλτάτου χωρισμῷ τελευτήσαντος. καὶ γὰρ οὐχ ἧττόν ἐστιν ἀλγεινὴ ἡ τοιαύτη διάζευξις, ἢ εἰ τὸ ἥμισυ μέρος τοῦ σώματος ἀπερρήγνυτο. Ἀλλὰ τὰ μὲν λυπηρὰ τοιαῦτα, καὶ μείζω τούτων, ἡ δὲ ἐπὶ τούτοις παραμυθία τίς· ἡ ἐξ ἀρχῆς κεκρατηκυῖα τοῦ θεοῦ ἡμῶν νομοθεσία, τὸ χωρεῖν πάντως τὸν εἰς γένεσιν παρελθόν-

τα, τοῖς καθήκουσι χρόνοις ἐπιέναι τοῦ βίου. εἰ οὖν οὕτως ἀπὸ Ἀδὰμ μέχρις ἡμῶν τὰ ἀνθρώπινα διατέτακται, μὴ ἀγανακτῶμεν ἐπὶ τοῖς κοινοῖς τῆς φύσεως ἡμῶν παθήμασιν· ἀλλὰ καταδεχώμεθα τὴν ἐφ' ἡμῖν τοῦ δεσπότου οἰκονομίαν. Πάντοτε μὲν γὰρ χρήσιμοι ὁ τῶν γραφῶν διδασκαλίαι, μάλιστα δὲ ἐπὶ τῶν τοιούτων καιρῶν. μνήσθητι τοίνυν τῆς τοῦ κτίσαντος ἡμᾶς ἀποφάσεως, δι' ἧς πάντες οἱ ἐκ τῆς γῆς φυέντες πάλιν εἰς τὴν γῆν ὑποστρέφομεν· καὶ οὐδεὶς οὕτω μέγας, ὥστε βελτίω φανῆναι τῆς διαλύσεως. Καλὸς μὲν οὖν καὶ μέγας ὁ θαυμαστὸς ἐκεῖνος καὶ ἐφάμιλλος τῇ ῥώμῃ τοῦ σώματος. τὴν τῆς ψυχῆς ἀρετὴν φημὶ κἀγώ. οὐ μὲν οὖν ἔχων ὑπερβολὴν εἰς ἑκάτερα, ἀλλ' ὅμως ἄνθρωπος· καὶ τέθνηκεν ὡς Ἀδὰμ, ὡς Νῶε, ὡς Ἀβραὰμ, ὡς Μωϋσῆς, ὡς ὄντινα ἂν εἴπῃς τῶν τῆς αὐτῆς φύσεως μεταχόντων. ἐν τῷ ὄντι ὑπόδειγμα τῆς

αἰ θεσπεσίας φύσεως, τὸν ἄνδρα ἐκεῖνον ὁ κτίσας ἡμᾶς ἐδημιούργησεν. ὥστε, πάντες μὲν ὀφθαλμοὶ πρὸς αὐτὸν ἐφέροντο, πᾶσα δὲ γλῶσσα τὰ κατ' αὐτὸν διεξῄει· γραφεῖς δὲ καὶ πλάσται τῆς ἀξίας ἀπελιμπάνοντο· ἱστορικοὶ δὲ ἄνδρες, τὰ κατ' ἀρετὴν ἀνδραγαθήματα διηγούμενοι, πρὸς τὴν τῶν μύθων ἐκπίπτουσιν ἀπιστίαν, ὅθεν οὐδ' ἐπιστεύειν ἀνέχονται οἱ πολλοὶ τῇ φήμῃ τοῦ σκυθρωπὴν ἀγγελίαν περιαγγούσῃ, οὐδὲ καταδέχεσθαι ὅλως ὅτι τέθνηκεν ὁ τοιοῦτος· ἀλλ' ὅμως πέπονθεν, ἃ καὶ οὐρανῷ, καὶ ἡλίῳ, καὶ γῇ συμβήσεται. οὕτω τοίνυν τὸ πάθος μέτρησον, ὡς μήτε ἐκβαλεῖν τῆς καρδίας, μήτε καταποθῆναι ὑπὸ τῆς λύπης. τοὺς γὰρ κατὰ τὸν βίον συναφθέντας ἀλλήλοις, εἶτα θανάτῳ διϊσταμένους, ὁδοιπόροις λογίζου παραπλησίους, μίαν πορευομένοις ὁδὸν, καὶ διὰ τὴν συνεχῆ μετ' ἀλλήλων διατριβὴν ἑνωθεῖσιν ὑπὸ τῆς συνηθείας,

οἱ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες, καταλάβωσι λοιπὸν σχιζομένην αὐτὴν, τῆς χρείας ἤδη ἀναγκαίως μερίζούσης ἑκάτερον, οὐ τῇ συνηθείᾳ προσκαθεζόμενοι, ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες, πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ, ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις, ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας, συναφθέντας δὲ ἀλλήλοις ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσε.

Εὐγνώμονος δὲ διανοίας, οὐκ ἐπὶ τῷ χωρισμῷ δυσφόρως ἔχειν τοῦ συναφθέντος, ἀλλ' ἐπὶ τῇ ἐξ ἀρχῆς συναφείᾳ χάριν ἔχειν τῷ συγκληρώσαντι. σὺ δὲ καὶ ὅτε περιῆν σοι ὁ ἀνὴρ ἢ τὸ παιδίον, ἢ ὅτιοῦν τῶν

ὀδυρομένῳ, οὐχὶ χάριν εἶχες τῶν παρόντων τῷ δεδωκότι, ἀλλ' ἐνεκάλεις ὑπὲρ τῶν ἐλλειφθέντων· εἰ μὲν ἀνδρὶ μόνῳ συνῴκεις, ὅτι μὴ παῖδες ἦσαν οἵους ἐβούλου· εἰ δὲ καὶ παῖδες προσῆσαν, ὅτι μὴ ὑπερεπλούτεις.

Ὅρα τοίνυν, μή ποτε αὐτοὶ ἑαυτοῖς ἀναλγησίας τῶν φιλτάτων τὰς στερήσεις κατασκευάζωμεν, παρόντων μὲν οὐκ αἰσθανόμενοι, προελθόντων δὲ περιεχόμενοι. ἐπειδὴ γὰρ παρακειμένων τῶν ἐκ θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναλγησία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται.

Ὥσπερ γὰρ οἱ ὀφθαλμοὶ τὸ ἄγαν προκείμενον οὐχ ὁρῶσιν, ἀλλὰ δέονται συμμέτρου τινὸς ἀποστάσεως· οὕτω καὶ αἱ ἀχάριστοι ψυχαὶ ἐοίκασιν ἐν τῇ ἀλλοτριώσει τῶν ἀγαθῶν, τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι. ὅτε γὰρ ἀπέλαυον τῶν χρηστοτέρων, οὐδὲ μίαν χάριν τῷ δεδωκότι γινώσκοντες, μετὰ τὴν στέρησιν τὸ προελθὸν μα-

καείζουσιν. Ἀλλ' ἡμεῖς ἀφέντες τὰς ἐπὶ τοῖς ἀπιοῦσι λύπας, διδαχθῶμεν τὴν ἐπὶ τοῖς προσοῦσιν εὐχαριστίαν ἀποδιδόναι· εἴπωμεν ἐν μὲν ταῖς σκυθρωποτέραις περιστάσεσι τῶν πραγμάτων τοῦ σοφοῦ ἰατροῦ, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν· εἴπωμεν, ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με· εἴπωμεν, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· εἴπωμεν, ὅτι ὀλίγα ὧν ἡμάρτομεν μεμαστιγώμεθα· παρακαλέσωμεν τὸν κύριον, ὅτι παίδευσον ἡμᾶς κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ· ἐλεγχόμενοι γὰρ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν· ἐν δὲ τῇ φαιδροτέρᾳ τοῦ βίου διαγωγῇ, ἐκείνην λέγωμεν τοῦ Δαβὶδ τὴν φωνὴν, τί ἀνταποδώσομεν τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν, καλῶς ἀποφαινῶντος τοῦ προφήτου, καὶ περι-

σκοποῦντος αὐτοῦ τὴν πενίαν, ὅτι οὐδὲν ἔχει πρὸς ἀντίδοσιν ἄξιον, ὃς ἐφ' οὕτω μεγάλαις καὶ λαμπραῖς εὐεργεσίαις, οὐ μήπω ἐχούσαις ὑπερβολὴν, πολλαπλασίονα ἡμῖν τὰ εἰς ὕστερον ἐπαγγέλλεται ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Ὧν καὶ ἡμεῖς ἐπιτύχοιμεν, ἐκ τῶν παθῶν τῆς σαρκὸς ἑαυτοὺς ἐκκαθάραντες, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν τε ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ

τρὸς ἡμῶν Βασιλείου, λόγ. ιϛ.

ΠΕΡΙ ΛΥΠΗΣ ΚΑΙ ΑΘΥΜΙΑΣ.



ΤΑΝ ἴδω καὶ τὸ κακὸν εὐοδούμενον, καὶ τὴν ὑμετέραν εὐλαβείαν κεκμηκυῖαν καὶ ἀπαγορεύουσαν πρὸς τὸ συνεχὲς τῶν ἐπηρειῶν, ἀθυμίας πληροῦμαι· ὅταν δὲ πάλιν τὴν μεγάλην χεῖρα τοῦ θεοῦ ἐννοήσω, καὶ ὅτι εἶδεν ἀνορθοῦν τοὺς κατερραγμένους καὶ ἀγαπᾶν δικαίους, συντρίβειν τε ὑπερηφάνους καὶ καθαιρεῖν ἀπὸ θρόνων δυνάστας, πάλιν μεταβαλὼν, κουφότερος γίνομαι ταῖς ἐλπίσι· καὶ οἶδα καὶ πέπεισμαι, ὃ καὶ ὑμᾶς γινώσκειν βούλομαι, ὅτι ταχεῖα ἔσται ἡ ἀντίληψις, καὶ οὐκ εἰς τέλος ἔσται ἡ ἐγκατάλειψις. ἃ μὲν γὰρ πεπόνθαμεν, διὰ τὰς ἁμαρτίας ἡμῶν πεπόνθαμεν· τὴν

τὴν δὲ αὐτοῦ βοήθειαν, διὰ τὴν περὶ τοὺς δούλους αὐτοῦ ἀγάπην καὶ εὐσπλαγχνίαν ὁ φιλάνθρωπος ἐπιδείξεται. εἴτε γὰρ ἁμαρτημάτων ἀποτιννύομεν δίκας, ἱκαναὶ αἱ μάστιγες πρὸς παραίτησιν λοιπὸν τῆς ἐφ' ἡμῖν ὀργῆς τοῦ θεοῦ· εἴτε εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας διὰ τῶν πειρασμῶν τούτων κεκλήμεθα, δίκαιος ὁ ἀθλοθέτης μὴ ἐάσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα ὑπενεγκεῖν, ἀλλ' ἐπὶ τοῖς πεπονημένοις ἀποδοῦναι ἡμῖν τὸν τῆς ὑπομονῆς καὶ τῆς εἰς αὐτὸν ἐλπίδος στέφανον.

Τίς γὰρ οὕτως ἀδαμάντινος τὴν ψυχὴν, τίς οὕτως παντελῶς ἀσυμπαθὴς καὶ ἀνήμερος, ὃς ἀκούων τοῦ πανταχόθεν ὑμᾶς περιβάλλοντος στεναγμοῦ, οἷ ἀπὸ τινὸς χοροῦ κατηφοῦς, κοινόν τινα θρῆνον καὶ σύμφωνον περιηχοῦντος, μὴ οὐχὶ παθεῖν τὴν ψυχὴν, καὶ κατακαμφθῆναι εἰς γῆν, καὶ ταῖς ἀμηχάνοις ταύταις ὀδύναις παντελῶς

ἐκτακῆναι. Ταῦτα δὲ λέγω, οὐ παρακλήσεως ἕνεκεν· τίς γὰρ καὶ λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός· ἀλλὰ τὴν ὀδύνην τῆς καρδίας μου καθ' ὅσον δυνατὸν, ἐκ τῆς φωνῆς ταύτης ὑμῖν διασημαίνων. ἐλογισάμην γὰρ τὸ ἔντεχνον τοῦ διαβολικοῦ πολέμου, ὃς ἐπειδὴ εἶδεν ἐν ταῖς παρὰ τῶν ἐχθρῶν ἐπηρείαις πληθυνομένην τὴν ἀρετὴν ἐν ὑμῖν, καὶ μᾶλλον θάλλουσαν, μετέστρεψεν ἑαυτοῦ τὴν βουλὴν, καὶ οὐκ ἔτι ἐκ τοῦ προφανοῦς πολεμεῖ, ἀλλὰ κεκρυμμένως ἡμῖν τὰς ἐνέδρας τίθησι, καλύπτων αὐτοῦ τὴν ἐπιβουλὴν διὰ τοῦ ὀνόματος οὗ περιφέρουσιν οἱ πολέμιοι, ἵνα καὶ πάθωμεν τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν, καὶ μὴ δόξωμεν πάσχειν ὑπὲρ Χριστοῦ, διὰ τὸ χριστιανῶν ὄνομα ἔχειν καὶ τοὺς διώκοντας. Ταῦτα ἡμᾶς ἐξέπληξε, καὶ μικροῦ δεῖ, ἔξω ἐποίησε τῶν λογισμῶν. συνέστηλθε δὲ τούτοις τοῖς διαλογισμοῖς κα-

κείνη ἡ ἔννοια, ἆρα μὴ ἐγκατέλιπεν ἑαυτοῦ τοὺς δούλους ὁ κύριος; ἆρα μὴ ἐσχάτη ὥρα ἐστὶ, καὶ ἡ ἀποστασία διὰ τούτων λαμβάνει τὴν εἴσοδον, ἵνα λοιπὸν ἀποκαλυφθῇ ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα; πλὴν, εἴτε πρόσκαιρός ἐστιν ὁ πειρασμὸς, βαστάσατε αὐτὸν ὡς καλοὶ τοῦ Χριστοῦ ἀγωνισταί· εἴτε καὶ τῇ παντελεῖ φθορᾷ τὰ πράγματα παραδέδοται, μὴ ἀκηδιάσωμεν πρὸς τὰ παρόντα, ἀλλ' ἀναμείνωμεν τὴν ἐξ οὐρανῶν ἀποκάλυψιν, καὶ ἐπιφάνειαν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. εἰ γὰρ πᾶσα ἡ κτίσις λυθήσεται, καὶ μεταποιηθήσεται τὸ σχῆμα τοῦ κόσμου τούτου, τί θαυμαστὸν καὶ ἡμᾶς μέρος ὄντας τῆς κτίσεως παθεῖν τὰ κοινὰ πάθη, καὶ παραδοθῆναι θλίψεσιν, ἃς κατὰ τὸ μέτρον τῆς δυνάμεως ἡμῶν ὥρισεν ὁ δίκαιος κριτὴς, οὐκ ἐῶν ἡμᾶς

πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ δίδωσι σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. Μὴ τοίνυν ἀποκάμωμεν ἀδελφοί· ἀναμένουσι γὰρ ἡμᾶς οἱ τῶν μαρτύρων στέφανοι, ἕτοιμοί εἰσιν οἱ χοροὶ ὁμολογητῶν προτεῖναι ἡμῖν τὰς χεῖρας, καὶ δέξασθαι ἡμᾶς εἰς τὸν ἴδιον ἀριθμόν. μνήσθητε τῶν πάλαι ἁγίων, ὅτι οὐδεὶς τρυφῶν οὐδὲ κολακευόμενος, τῶν στεφάνων τῆς ὑπομονῆς ἠξιώθη, ἀλλὰ πάντες διὰ μεγάλων θλίψεων πυρωθέντες, τὸ δοκίμιον ἐπεδείξαντο. Μακάριος ὁ καταξιωθεὶς τῶν ὑπὲρ Χριστοῦ παθημάτων, μακαριώτερος δὲ ὁ πλεονάσας ἐν τοῖς παθήμασι, διότι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ὁ γὰρ μὴ ὑποπεσὼν ταῖς θλίψεσιν, ἀλλὰ διὰ τῆς πρὸς θεὸν ἐλπίδος, τῆς λύπης τὸ βάρος ὑπενεγκὼν, μεγάλην ἔχει παρὰ θεῷ τῆς ὑπο-

μινῆς τὴν ἀντίδοσιν. Ὥσπερ οὖν οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται· οὔτε δὲ γυναιξὶν, οὔτε ἀνδράσιν ἐπιτέτραπται τὸ πολυπενθὲς καὶ πολύδακρυ, ἀλλ' ὅσον ἐπισυγνάσαι τοῖς λυπηροῖς, καὶ μικρόν τι δάκρυον ἐπιστάξαι, καὶ τοῦτο ἡσυχῇ, μὴ ἀναβρυχώμενον, μηδὲ ὀλολύζοντα, μηδὲ καταρρηγνῦντα χιτῶνα, ἢ κόνιν χεόμενον, μηδ' ἄλλο τι τοιοῦτον ἀσχημονοῦντα τῶν ἐπιτετηδευμένων παρὰ τῶν ἀπαιδεύτως ἐχόντων πρὸς τὰ ἀνθρώπινα. ἀνάνδρου γὰρ ψυχῆς καὶ οὐδένα τόπον ἐκ τῆς ἐπὶ θεὸν ἐλπίδος ἐχούσης, τὸ σφοδρῶς καταρρήγνυσθαι καὶ ἐμπίπτειν τοῖς λυπηροῖς. Τὸ μὲν γὰρ δάκρυον, ὥσπερ ἐκ πηγῆς τινὸς, τῆς προσβολῆς τοῦ ἀβουλήτου τὴν ψυχὴν τύπτοντος καὶ συστέλλοντος, καταθλιβομένου τοῦ περικαρδίου πνεύματος,

ἀποτίκτεσθαι πέφυκεν· ἡ δὲ χαρά, οἷον σκίρτημά τι ἐστὶ τῆς ψυχῆς ἐπαγαλλομένης τοῖς κατὰ γνώμην· ὅθεν καὶ τὰ περὶ τὸ σῶμα συμπτώματα διενήνοχε· τοῖς μὲν γὰρ λυπουμένοις ὕπωχρος, καὶ πελιδνός, καὶ κατεψυγμένος ὁ ὄγκος· τοῖς δὲ φαιδρυνομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς, καὶ προθυμουμένης ἐφ' ἡδονῆς εἰς τὸ ἔξω. Καὶ πολλοὺς ἔγνωμεν ἐν συμφοραῖς ἀνηκέστοις ἀποστάξαι δάκρυον, βιαίως ἐγκαρτερήσαντας· εἶτα, τοὺς μὲν εἰς ἀνήκεστα ἐκπεσόντας πάθη, ἀποπληξίας, ἢ παραλύσεις· τοὺς δὲ καὶ παντελῶς ἀποψύξαντας, ὥσπερ ἐρείσματος ἀσθενοῦς τῆς δυνάμεως αὐτῶν πρὸς βάρος τῆς λύπης ἀποκλασθείσης. Ὁ γὰρ ἐπὶ τῆς φλογὸς ὁρᾶν ὑπάρχει, ὑπὸ τοῦ οἰκείου αὐτὴν καπνοῦ καταπνίγεσθαι, μὴ ὑπεξιόντος, ἀλλὰ περὶ αὐτὴν εἱλουμένου· τοῦτο φασὶ καὶ ἐπὶ τῆς οἰκονομούσης τὸ ζῷον δυ-

νάμεως γίνεσθαι· ἀπομαραίνεσθαι γὰρ ὑπὸ τὴν ὀδυνηρὰν καὶ κατασβέννυσθαι, μηδεμιᾶς γινομένης ἐπὶ τὸ ἔξω διαπνοῆς.

Τίνος γὰρ ἕνεκεν ἐπὶ τῷ Λαζάρῳ ὁ Χριστὸς ἐδάκρυσε, τὴν ὀδυρτικὴν πάντως καὶ φιλοθρήνων τὸ ἄγαν περιπαθὲς καὶ ἐπώδυνον ἐπανορθούμενος. ὅτι γὰρ οὐκ ἐμπαθὲς ἦν τὸ δάκρυον τοῦ κυρίου, ἀλλὰ καὶ διδασκαλικὸν, ἐκεῖθεν δῆλον· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. Τίς δὲ ἡμῶν κοιμώμενον ὀδύρεται φίλον, ὃν μικρὸν ὕστερον προσδοκεῖ διϋπνίζειν. Λάζαρε δεῦρο ἔξω, καὶ ὁ νεκρὸς ἐζωοποιεῖτο, καὶ ὁ δεδεμένος περιεπάτει, θαῦμα ἐν θαύματι, κειρίαις δεδέσθαι τοὺς πόδας, καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν. μεῖζον γὰρ ἦν τὸ ἐνισχύον τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ τὰ τοιαῦτα ἐνεργεῖν μέλλων, δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν· ἢ δῆλον, ὅτι παντοταχόθεν ἡμῶν τὸ ἀσθενὲς

ὑπερῖδεν, μέτριοις τισὶ καὶ ὄρνις τὰ ἀνάγκαια περιέλαβε πάθη, τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων, τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον ὡς ἀγεννὲς παραιτούμενος. ὁ δὲ Ἰώβ, τί. μὴ ἀδαμάντινος ἦν τὴν καρδίαν; μὴ ἐκ λίθου ἦν αὐτοῦ πεποιημένα τὰ σπλάγχνα; ἔπεσον αὐτοῦ δέκα παῖδες ἐν βραχείᾳ καιροῦ ῥοπῇ, μιᾷ πληγῇ συντριβέντες, καὶ ἐν τῷ οἴκῳ τῆς θυμηδίας, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως ἐπικατασείσαντος αὐτοῖς τοῦ διαβόλου τὸ οἴκημα. εἶδε τράπεζαν αἵματι μεμιγμένην, εἶδε παῖδας, διαφόρως μὲν κατὰ τὸν χρόνον ἀποτεχθέντας, κοινῇ δὲ ὑπεξελθόντας τοῦτο τὸ τέλος, καὶ οὐκ ᾤμωξεν, οὐ κατετίλατο κόμην, οὐκ ἀφῆκέ τινα φωνὴν ἀγεννῆ, ἀλλὰ τὴν ἀοίδιμον ἐκείνην καὶ παρὰ πᾶσιν ᾀδομένην εὐχαριστίαν ἀπεφθέγξατο, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο, ὡς κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου

ἀλγυνόμενον. Μὴ ἀσυμπαθὴς ὁ ἄνθρωπος; καὶ πῶς, ὅς γε περὶ ἑαυτοῦ λέγει, ἐγὼ ἔκλαυσα ἐπὶ παντὶ θλιβομένῳ. ἀλλ᾽ ἄρα μὴ ἐψεύδετο ταῦτα λέγων; καὶ μὴν μαρτυρεῖ αὐτῷ ἡ ἀλήθεια, ὅτι πρὸς ταῖς λοιπαῖς ἀρεταῖς καὶ ἀληθινὸς ἦν. ἄνθρωπος γάρ φησιν, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀληθινός. ἀλλ᾽ οἱ πολλοὶ τῶν ἀνθρώπων ᾠδαῖς τισὶ περὶ τὸ κατηφὲς πεποιημέναις καταθρηνοῦσι, καὶ μέλεσι γοεροῖς ἐκτήκειν ἑαυτῶν τὰς ψυχὰς ἐπιτηδεύουσι, καὶ ὥσπερ τῶν τραγῳδῶν ἴδιόν ἐστι τὸ ἀνάπλασμα καὶ σκευὴ μεθ᾽ ἧς τὰ θέατρα καταλαμβάνουσιν· οὕτως οἴονται προσήκειν καὶ τῷ πενθοῦντι πρέπον εἶναι σχῆμα μέλαν ἱμάτιον, καὶ αὐχμηρὰν κόμην, καὶ σκότος ἐν οἰκίᾳ, καὶ ῥύπον, καὶ κόνιν, καὶ μέλος στυγνὸν, ἀεὶ νεαρὸν τῆς λύπης τὸ τραῦμα τῇ ψυχῇ διασῶζόν τι, οὐκ εἰδότες ὅτι ψυχὴ ἡ ἅπαξ προσδεθεῖσα τῷ πόθῳ τοῦ κτίσαντος, καὶ τοῖς ἐκεῖ κάλλεσιν

ἐνθυμουμένην φαιδρύνεσθαι, τὸ περιχαρὲς αὐτῆς καὶ εὔθυμον ἀπὸ τῆς ποικίλης μεταπτώσεως τῶν σαρκικῶν παθημάτων οὐ μεταβάλλει, ἀλλὰ τὰ τοῖς ἄλλοις λυπηρὰ προσθήκην εὐφροσύνης ποιήσεται. Ὥσπερ γὰρ οἱ ἀσθενεῖς τὰ ὄμματα, τὴν ἄγαν λαμπρῶν τὰς ὄψεις ἀπάγοντες, ἄνθεσι καὶ πόαις προσαναπαύουσιν· οὕτω χρὴ καὶ τὴν ψυχὴν, μὴ συνεχῶς καταβλέπειν τὸ λυπηρὸν, μηδὲ τοῖς παροῦσιν ἀνιαροῖς προσκεῖσθαι, ἀλλὰ πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν περιάγειν αὐτῆς τὰ ὄμματα.

Αἱ γὰρ λῦπαι τὴν ψυχὴν, ὡς τὸ πῦρ τὸν χρυσὸν, ἀπελέγχουσι, καὶ τῷ ὄντι τοῖς καλῶς παρεσκευασμένοις αἱ θλίψεις, οἱονεὶ τροφαί τινές εἰσιν ἀθλητικὰ γυμνάσια, ἐπὶ τὴν πατρῴαν δόξαν τὸν ἀγωνιστὴν προβιβάζουσαι. Ἡ δὲ εἰς ἄγαν κατήφεια, γίνεται τῆς ἁμαρτίας αἰτία, τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν καὶ ἀμηχανίας ἐμποι-

οὔσης ἴλιστον, τῆς δὲ ἀπειρίας τῆς λελησμένης τὴν ἀχαριστίαν ἀποδυνούσης. Αἰσχρὸν οὖν, εὐλογεῖν μὲν ἡμᾶς ἐπὶ τοῖς χρηστοτέροις, σιωπᾶν δὲ ἐπὶ τοῖς σκυθρωποτέροις καὶ ἐπιπόνοις πράγμασιν· ἀλλὰ τότε καὶ πλέον εὐχαριστεῖν δεῖ, εἰδότας ὅτι ὃν ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Καὶ ῥύεται ἐκ θλίψεως τοὺς ἁγίους αὐτοῦ ὁ θεὸς, οὐκ ἀδοκιμάστους αὐτοὺς καταλιμπάνων, ἀλλὰ τὴν ὑπομονὴν αὐτοῖς χαριζόμενος. εἰ γὰρ ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ὁ τὴν θλίψιν ἀφαιρούμενος, τῆς δοκιμῆς ἑαυτὸν ἀποστερήσει. ὡς οὖν οὐδεὶς στεφανοῦται ἄνευ ἀνταγωνιστοῦ, οὕτως οὐδὲ δόκιμος ἀποφανθῆναι δύναται μὴ διὰ θλίψεων. Ἐκ πασῶν οὖν τῶν θλίψεων ῥύσεται αὐτοὺς, οὐχὶ μὴ ἐῶν αὐτοὺς θλίβεσθαι, ἀλλὰ σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν χαριζόμενος. ὁ δὲ

λέγων μὴ πρέπειν τῷ δικαίῳ τὴν θλῖψιν, οὐδὲν ἕτερον λέγει, ἢ μὴ ἁρμόζειν τῷ ἀθλητῇ ἀνταγωνιστήν. Επεὶ δὲ φέρει παραμυθίαν ὀδυνωμένοις ἡ κοινωνία τῶν στεναγμῶν,

Επιστυγνάζειν μὲν ταῖς συμφοραῖς τῶν πεποιθότων ἀκόλουθον. οὕτω γὰρ ἑαυτὸν οἰκειώσῃ τοῖς πάσχουσι, μὴ καθιλαρευόμενος τῶν συμφορῶν, μηδὲ ἐναδιαφορῶν τοῖς ἀλλοτρείοις ἀλγήμασιν· οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσήκει, ὥστε ἢ συνεκβοᾶν ἢ συνθρηνεῖν τῷ πεπονθότι, ἢ ἐν τοῖς ἀλλοτρείοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους, οἷον συγκαθείργνυσθαι ἑαυτόν, καὶ συμμελαίνεσθαι, καὶ χαμαὶ συγκαθῆσθαι, καὶ κουρᾶς ἀμελεῖν. ἐκ τούτων γὰρ ἐπιτείνειν μᾶλλον ἐστὶ τὴν συμφοράν, ἢ καταπραΰνειν.

Αλλὰ δάκνεσθαι μὲν ὑπὸ τῶν γινομένων, καὶ ἡσυχῇ τοῖς λυπηροῖς ἐπιστυγνάζειν προσήκει, ἐν συννοίᾳ προσώπου, καὶ

σεμνότητι βάρος ἐχούσῃ, τὸ τῆς ψυχῆς πάθος διασημαίνοντα· φθεγγόμενον δὲ, οὐκ εὐθὺς ἐπιπηδᾷν ταῖς ἐπιτιμήσεσι προσήκει, ὥσπερ ἐναλλόμενον καὶ ἐπεμβαίνοντα τοῖς κειμένοις. Φορτικὸν γὰρ τοῖς ὑπὸ λύπης τὴν ψυχὴν κεκακωμένοις ἡ ἐπιτίμησις, καὶ ἅμα δυσπαράδεκτοί εἰσι τοῖς κάμνουσι, καὶ πρὸς παρηγορίαν ἀπίθανοι τῶν ἀπαθῶς παντάπασι διακειμένων οἱ λόγοι. Ὥσπερ γὰρ ὀφθαλμῷ φλεγμαίνοντι καὶ τὸ ἁπαλώτατον τῶν παρηγορημάτων αἰτίαν ἐμποιεῖ· οὕτω καὶ ψυχὴ ὑπὸ θλίψεως βαρείας κεκακωμένη, κἂν πολλὴν παράκλησιν φέρῃ ὁ λόγος, ὀχληρός πως εἶναι δοκεῖ ἐν τῇ περιωδυνίᾳ προσφερόμενος.

Ὅταν δὲ ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ. καὶ γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι. ὁ γὰρ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερ-

μὲν ἀποστάξας δάκρυον, ἑαυτὸν ἐξιλάσατο, δι' ὧν τὸν ἀδελφὸν ἀπωδύρατο. ὑπὲρ ἁμαρτίας κλαῖε· αὕτη ἀῤῥωστία ψυχῆς, αὕτη θάνατός ἐστι τῆς ἀθανάτου, αὕτη πένθους ἀξία καὶ ὀδυρμῶν ἀσιγήτων· ἐπὶ ταύτῃ πᾶν δάκρυον ῥέοι, καὶ μὴ διαλείποι στεναγμὸς, ἐκ μέσης καρδίας ἀναπεμπόμενος. οὕτως ἔκλαιεν Ιερεμίας ἐπὶ τοῖς ἀπολλυμένοις τοῦ λαοῦ· ᾧ γε ἐπεὶ οὐκ ἤρκει τὸ ἐκ φύσεως δάκρυον, πηγὴν ἐπεζήτει δακρύων, καὶ σταθμὸν ἔσχατον. Υπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν Χριστῷ τῷ θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑτρὸς ἡμῶν Βασιλείου, λόγ. ιγ.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΜΑΚΡΟΘΥΜΙΑΣ.



ΗΔΕΙΣ ἐξ ὧν ἔπαθε λυπηρῶν αἰτιᾶσθαί τι καὶ λέγειν, ὡς ἄρα οὐδεμία πρόνοια τὰ τῇδε τὰ καθ' ἡμᾶς· μηδὲ κατηγορείτω τῆς οἰκονομίας τοῦ δεσπότου, καὶ κρίσεως· ἀλλ' εἰς τὸν ἀθλητὴν Ἰὼβ ὁράτω, κἀκεῖνον σύμβουλον ποιείσθω τοῦ κρείττονος. ἀναλογιζέσθω τοὺς ἀγῶνας ἅπαντας ἐφεξῆς, ἐν οἷς ἐκεῖνος ἠρίστευσε, καὶ πόσοις βέλεσιν ὑπὸ τοῦ διαβόλου βληθεὶς, οὐκ ἐδέξατο καιρίαν πληγήν. ἐξέβαλε μὲν γὰρ αὐτοῦ τὴν εὐπραγίαν τῶν οἰκείων· καταχῶσαι δὲ αὐτὸν ταῖς ἐπ' ἀλλήλοις τῶν κακῶν ἐβουλεύσατο φή-

μαις. ἔτι γὰρ τοῦ προτέρου τὴν τοιάνδε συμφορὰν ἐξαγγέλλοντος, ἕτερος ἄγγελος ἤρχετο, χείρω πραγμάτων φέρων κατήφειαν, ἀλλήλοις τε ἐπισυνήπτετο τὰ δεινά, καὶ τὴν τῶν κυμάτων ἐπιδρομὴν ἐζήλουν αἱ συμφοραί· καὶ πρὶν ἢ παυσθῆναι τὸ πρότερον δάκρυον, ἑτέρου προσήγετο πρόφασις· ὁ δὲ ὥσπερ τις πρόβολος εἱστήκει, τὰς τοῦ χειμῶνος ὑποδεχόμενος προσβολάς, καὶ ἀλλοιῶν εἰς ἀφρὸν τῶν κυμάτων τὴν βίαν, καὶ τὴν εὐγνώμονα πρὸς τὸν δεσπότην ἠφίει φωνήν, καὶ οὐδὲν τῶν συμβαινόντων δακρύων ἠξίωσεν. Ἐπειδὴ δὲ ἧκέ τις ἀγγέλων, ὡς τοῖς παισὶ καὶ ταῖς θυγατράσιν εὐωχουμένοις ἐπετίναξε πνεῦμά τι βίαιον τὸ τῆς εὐφροσύνης δωμάτιον, τότε μόνον τὴν ἐσθῆτα διέρρηξε, τὸ τῆς φύσεως ἐπιδεικνύμενος συμπαθές, καὶ ὅτι πατὴρ εἴη φιλόστοργος οἷς ἔπραττε μαρτυρούμενος, καὶ τὴν εὐσεβέσιν ἐκείναις φωναῖς κοσμῶν τὸ γινόμενον,

μένον, ἔλεγεν, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο, ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. Μονονουχὶ τοιαῦτα βοῶν, ἐκλήθην πατὴρ, ἐφ' ὅσον ὁ τοῦτό με ποιήσας ἐβούλετο χρόνον· περιεῖλεν μου τὸν ἐκ τῆς γονῆς στέφανον ἐβουλεύσατο πάλιν, οὐ διαμάχομαι περὶ τῶν ἰδίων αὐτοῦ· κρατείτω ὁ δεσπότης δοκεῖ· αὐτός ἐστιν ὁ πλάστης τοῦ γένους, ἐγὼ δὲ ὄργανον, τί με χρὴ δοῦλον ὄντα δυσχεραίνειν ἀνόνητα, καὶ μέμφεσθαι ψῆφον ἣν οὐ δύναμαι λύειν. Τοιούτοις τὸν διάβολον ὁ δίκαιος κατηκόντιζε ῥήμασιν. ἐπεὶ δὲ αὐτὸν νικῶντα εἶδε πάλιν ὁ δυσμενὴς, καὶ οὐδὲν τούτων τινὰ γενέσθαι δυνάμενον, αὐτῇ τῇ σαρκὶ τὸ τῆς πείρας προσῆγε μηχάνημα, καὶ τὸ σῶμα μαστίξας ἀρρήτοις πληγαῖς, σκωλήκων ἀναδίδοσθαι πηγὰς ἐξ αὐτοῦ παρεσκεύασε, καὶ τῶν τῆς βασιλείας θρόνων τὸν ἄνδρα καταγαγὼν, ἐπὶ κοπρίας ἐκάθιζεν· ὁ δὲ καὶ τοιούτοις βαλλόμενος πά-

θεσιν ἀκίνητος ἔμενε, καὶ παραιτουμένου τοῦ σώματος, ἁπλοῦν ἐφύλαττε τὸν τῆς εὐσεβείας θησαυρὸν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς.

Οὐκ ἔχων εἰπεῖν ὅ, τι ποιήσῃ λοιπὸν ὁ πολέμιος, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μηχανήν, καὶ τὴν τοῦ γυναίου διάνοιαν ὑποσύρας εἰς ἀσεβῆ γνώμην καὶ βλάσφημον, δι' ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν· καὶ ἡ μὲν πρὸς τὸν μακρὸν πόνον ἀπαγορεύσασα, τῷ δικαίῳ παρίστατο, κάτω νενευκυῖα, καὶ τὰς χεῖρας ἐπὶ τοῖς ὁρωμένοις συγκρούουσα, καὶ τοὺς τῆς εὐσεβείας αὐτῷ καρποὺς ὀνειδίζουσα. Καὶ καταλέγουσα μὲν τὴν παλαιὰν εὐθηνίαν τῶν οἰκείων, ἀποδεικνῦσα δὲ τὰ παρόντα κακά, καὶ οἷον ἐξ οἵων ἔλαχε βίον, ὃν ἀντὶ τῶν πολλῶν θυσιῶν ἐδέξατο παρὰ τοῦ δεσπότου μισθόν, ἔλεγέ τε ἀεί, τῆς μὲν τῶν γυναικῶν ὀλιγοψυχίας ἄξια ῥήματα, ταράξαι δὲ πάντα ἄνδρα δυνάμενα, καὶ περιτρέ-

ται καὶ γυναίων διαφόροιν· πλανῆτις γὰρ καὶ λάτρις περιέρχομαι, ἡ βασιλὶς δουλεύω, καὶ πρὸς τὰς τῶν ἐμῶν οἰκετῶν χεῖρας ἠνάγκασμαι βλέπειν· καὶ τρέφουσα πάλαι πολλοὺς ἀγαπητῶς, ἐκ τῶν ἀλλοτρίων παρατρέφομαι νῦν· καὶ ὅτι καλὸν εἴη καὶ χρήσιμον, ἀσεβέσι χρησάμενον ῥήμασι, καὶ ἑαυτὸν τῆς γῆς ἐκτεμεῖν, τὸ τῆς τοῦ κτίσαντος ὀργῆς ἀκονήσαντα ξίφος, ἢ διακαρτεροῦντα πρὸς τὰ δεινά, τὸν ἐν τοῖς ἀγῶσι μόχθον ἑαυτῷ τε καὶ τῇ συνοικούσῃ μηκύνειν. Ὁ δὲ ἐπὶ τούτοις τοῖς ῥήμασιν ἀχθεσθεὶς, ὡς ἐπ' οὐδενὶ τῶν προτέρων καθῶν, καὶ θυμοῦ τὸ βλέμμα πληρώσας, καὶ πρὸς τὴν γυναῖκα, καθάπερ πρὸς πολεμίαν ἀποστραφεὶς, φησίν· ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐφθέγξω· κατάθου, φησὶν, ὦ γύναι, τὴν συμβουλήν. μέχρι τίνος τὴν κοινὴν ἐν οἷς λέγεις, ὑβρίζεις ζωήν· ἐψεύσω καὶ τὴν ἐμὴν, ὡς οὐκ ηὐχόμην

ἀναστροφὴν, διέβαλες, ἐν οἷς ἐλάλησας, καὶ τὸν ἐμὸν βίον ἐξ ἡμισείας ἀποβεβηκέναι νενόμικα νῦν. Ἐπειδὴ γὰρ, ἓν μὲν σῶμα ἀμφοτέρους ἡμᾶς ὁ γάμος ἐποίησε, σὺ δὲ εἰς βλασφημίας κατέπεσας. εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀνάμνησον τῶν φθασάντων σεαυτὴν ἀγαθῶν, ἀντισήκωσον τὰ κρείττω τοῖς χείροσιν. οὐδενὸς ἀνθρώπων ὁ βίος δι' ὅλου μακάριος, τὸ διὰ παντὸς εὖ πράττειν μόνου θεοῦ ἐστί. Σὺ δὲ, εἰ τοῖς παροῦσιν ἀλγεῖς, ἀπὸ τῶν περιλαβόντων σεαυτὴν παραμύθησαι. νῦν δακρύεις, ἀλλ' ἐγέλασας πρότερον· νῦν πτωχεύεις, ἀλλ' ἐπλούτησας πρότερον· ἔπιες τὸ ἡδὺ νᾶμα τοῦ βίου, καὶ τὸ θολερὸν πίνουσα καρτέρησον· οὐδὲ τὰ τῶν ποταμῶν ῥεύματα δι' ὅλου φαίνεται καθαρά. ποταμὸς δὲ, ὡς οἶσθα, ὁ βίος ἡμῶν, ῥέων ἐνδελεχῶς, καὶ κύμασιν ἀλλεπαλλήλοις πληρούμενος. τὸ μὲν

γὰρ αὐτοῦ περιέῤῥευσεν ἤδη, τὸ δὲ ἔτι προβλέπεται, τὸ δὲ ἄρτι περιέκυψε τῶν πηγῶν, τὸ δὲ μέλλει· καὶ πρὸς τὴν κοινὴν ἅπαντες τοῦ θανάτου σπεύδομεν θάλατταν. Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀναγκάζομεν τὸν κριτὴν ὅμοια χορηγεῖν τὰ πράγματα δι' αἰῶνος ἡμῖν; διδάσκομεν τὸν δεσπότην, ὅπως χρὴ διεξάγειν τὸν ἡμέτερον βίον; αὐτὸς τῶν οἰκείων ψήφων ἔχει τὴν ἐξουσίαν, ὅπως βούλεται τάττειν τὰ καθ' ἡμᾶς· σοφὸς δέ ἐστι, καὶ τὸ λυσιτελοῦν ἐπιμετρεῖν τοῖς οἰκέταις. μὴ περιεργάζου τοῦ δεσπότου τὴν κρίσιν· ἀγάπα μόνον τὰ παρὰ τῆς αὐτοῦ σοφίας οἰκονομούμενα. ὅπερ ἂν δῷ σοι, τοῦτο δέχου μεθ' ἡδονῆς· δεῖξον ἐν τοῖς ἀλγεινοῖς, ὡς καὶ τῆς εὐφροσύνης ἀξία τῆς πρόσθεν ἐτύγχανες.

Ταῦτα ὁ Ἰὼβ λέγων, ἀπεκρούσατο καὶ ταύτην, καὶ τοῦ διαβόλου τὴν προσβολὴν, καὶ τελείαν αὐτῷ τὴν ἧτταν τῆς αἰσχύ-

λίας ἀπελεγχθῶσιν οἱ δόκιμοι, εἴτε πλούσιοι, εἴτε πένητες. ἑκάτεροι γὰρ διὰ τῆς ὑπομονῆς δοκιμάζονται· κἂν τούτῳ μάλιστα τῷ καιρῷ διαδείκνυται, ὁ μὲν, εἰ κοινωνικὸς καὶ φιλάδελφος· ὁ δὲ, εἰ εὐχάριστος· καὶ μὴ τοὐναντίον βλάσφημος, ταῖς τοῦ βίου περιφοραῖς ὀξέως συμμεταβάλλων τὸ φρόνημα. Καὶ κυβερνήτην μὲν ὁ χειμὼν, καὶ τὸν ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν ἡ παράταξις, τὸν μεγαλόψυχον ἡ συμφορά, τὸν χριστιανὸν δὲ ὁ πειρασμὸς δοκιμάζει. Καὶ ὥσπερ τοὺς ἀθλητὰς οἱ τῶν ἀγώνων κάματοι τοῖς στεφάνοις προσάγουσιν, οὕτως καὶ τοὺς χριστιανοὺς ἡ ἐν τοῖς πειρασμοῖς δοκιμασία πρὸς τὴν τελείωσιν ἄγει. ἐὰν μετὰ τῆς πρεπούσης ὑπομονῆς, εὐχαριστίᾳ πάσῃ τὰ οἰκονομούμενα παρὰ τοῦ κυρίου καταδεξώμεθα. Πένης εἶ μὴ ἀθυμήσῃς, ἀλλ' ἔχε τὴν ἐλπίδα πρὸς τὸν θεόν. μὴ γὰρ οὐκ ἐπιβλέπει τὴν στένωσιν; ἔχει τὴν ἐξ-

φλὸξ ἐν χειρί, καὶ πῦρ ἕλκει τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον, ἵνα καταμάθῃ τὴν γνώμην, εἰ μὴ ταῖς τῶν ἀκολάστων καὶ ἀγνωμόνων ἐστὶν ὁμοία. καὶ γὰρ ἐκεῖνοι, μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν, οὓς πρὸ βραχέος διὰ τὴν ἡδονὴν προσεκύνουν. Ἠλίαν εἶχεν ὁ Κάρμηλος, ὄρος ὑψηλὸν καὶ ἀοίκητον, ἔρημος ἔρημον· ψυχὴ δὲ ἦν τῷ δικαίῳ τὰ πάντα, καὶ τῆς ζωῆς ἐφόδιον ἡ πρὸς θεὸν ἐλπίς. ζῶν δὲ οὕτως, λιμῷ τὴν ζωὴν οὐκ ἀπήλλαξεν, ἀλλ' οἱ ἁρπακτικώτεροι, καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ σῖτα, καὶ τροφῆς ἐγένοντο τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπάζοντες, καὶ τῷ δεσποτικῷ προστάγματι τὴν φύσιν διήμειψαν, πιστοὶ φύλακες γενόμενοι

τῶν ἄρτων καὶ τῶν κρεῶν. Εἶχε καὶ ὁ Βαβυλώνιος λάκκος τὸν ἰσραηλίτην νεανίσκον, αἰχμάλωτον μὲν τὴν συμφοράν, ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. καὶ τί παρ᾽ ἐκεῖνον· οἱ μὲν λέοντες παρὰ φύσιν ἐνήστευον, ὁ δὲ τούτου τροφεὺς Ἀββακοὺμ ἐφέρετο δι᾽ ἀέρος, κομίζοντος τοῦ ἀγγέλου μετὰ τῶν ὄψων τὸν ἄνθρωπον· καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάττης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι. Τί δὲ πάλιν ὁ τῆς ἐρήμου λαός, οὗ Μωσῆς ἐπεστάτει· πῶς ᾠκονομήθη τὸν βίον ἐν ἔτεσι τεσσαράκοντα. οὐκ ἦν ἐκεῖ σπείρων ἀνήρ, οὐ βοῦς ἕλκων ἄροτρον, οὐχ ἅλως, οὐ ληνός, οὐ ταμεῖον, καὶ τὴν τροφὴν εἶχον ἄπονον καὶ ἀνήροτον, καὶ τὰς πηγὰς ἐχορήγει πέτρα, οὐ πρότερον οὔσας, ἀλλ᾽ ἐκραγείσας ἐπὶ τῆς χρείας. Καὶ σὺ τοίνυν καρτέρησον ἐπὶ τῆς

συμφορᾶς, ὡς ὁ γενναῖος Ἰὼβ, καὶ μὴ παρατραπῇς ἐκ τοῦ κλύδωνος· μηδὲν ἀποβάλῃς ὧν φέρεις ἀγωγίμων τῆς ἀρετῆς· ὡς βαρύτιμον ἐνθήκην τὴν εὐχαριστίαν διασώσοι ἐπὶ τῆς ψυχῆς, καὶ λήψῃ καὶ σὺ τῆς εὐχαριστίας τὰ διπλασίονα τῆς τρυφῆς. Καίτοι οὐχ ὁ ἀπορῶν τῶν ἀναγκαίων, καρτερικός. ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς. Νοσεῖς; εὐθύμει, ὅτι ὃν ἀγαπᾷ κύριος παιδεύει· πτωχεύεις; εὐφραίνου, ὅτι Λαζάρου σε τὰ ἀγαθὰ διαδέξεται· ἀτιμάζῃ διὰ τὸ ὄνομα τοῦ Χριστοῦ; μακάριος εἶ, ὅτι σου ἡ αἰσχύνη εἰς δόξαν ἀγγέλου μεταβληθήσεται. Οἰκέτης εἶ; εὐχαρίστει καὶ οὕτως, ἔχεις τὸν σεαυτοῦ ταπεινότερον· εὐχαρίστει, ὅτι ἑνὸς ὑπερέχεις, ὅτι μὴ ἐν τῷ μυλῶνι καταδεδίκασαι, ὅτι μὴ πληγὰς λαμβάνεις. οὐδένα ἐπιλείψουσιν αἱ τοῦ εὐχαριστεῖν ἀφορμαί. ξύλῳ ἀδίκως κολάζῃ; τῇ τῶν μελλόντων ἐλπίδι χαῖρε·

δικαίως κατεδικάσθης; καὶ οὕτως εὐχαρίστει. Ἐπεὶ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν, ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν, ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀποστερώμεθα, οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε, καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ· εἶτα ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις, ὑπὸ φωτὶ προέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρῇ τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην, εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῇρεν, ἀλλὰ παρεῖχε τῷ προϊοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη, καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ἀπὸ τῶν πληγῶν εἶναι. ὡς δ' οὖν ἐπαύσατο τύπτων,

ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπι-
γράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥς τῷ
ἀνδριάντι τὸν δημιουργὸν, ὁ δεῖνα ἐποίει,
καὶ τοσούτου ἀμύνασθαι. Εὐκλείδῃ δὲ
τις τῶν μεγαρόθεν παρεξωσθεὶς, θάνατον
ἠπείλησε καὶ ἐπώμοσεν, ὁ δ' ἀντώμοσεν, ἢ μὴν
ἱλεώσασθαι αὐτὸν, καὶ παῦσαι χαλεπῶς πρὸς
αὐτὸν ἔχοντα. τὸ δὲ τοῦ Κλεινίου τοῦ Πυθα-
γόρου γνωρίμου ἑνὸς, χαλεπὸν πιστεῦσαι
ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις,
ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. τί δὲ ἦν
ὃ ἐποίησεν ἐκεῖνος· ἐξὸν δι' ὅρκου τριῶν τα-
λάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε
μᾶλλον, ἢ ὤμοσε, καὶ ταῦτα εὐορκεῖν μέλ-
λων· ἀκούσας, ἐμοὶ δοκεῖ, τοῦ προστάγμα-
τος τοῦ τὸν ὅρκον τιμᾶν ἀπαγορεύοντος. καὶ
τουτὶ μὲν τὸ τοῦ Κλεινίου, ἀδελφὸν ἐκείνῳ
τῷ παραγγέλματι· τὸ δὲ τοῦ Εὐκλείδου, τῷ
τοῖς διώκουσιν εὔχεσθαι τὰ ἀγαθά, ἀλλὰ
μὴ ἐπαρᾶσθαι· ὡς ὅγε ἐν τούτοις προσπαι-

δευθεὶς, οὐκ ἔτι διὰ ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειν. Ἔστω σοι τοίνυν ἡ ἐντολὴ τοῦ θεοῦ σύνοικος, οἷόν τι φῶς καὶ διαύγεια πρὸς τὴν τῶν πραγμάτων διάκρισιν ἀδιαλείπτως παρεχομένη, ἥτις πόρρωθεν τὴν τῆς ψυχῆς σου ἐπιστασίαν προκαταλαβοῦσα, καὶ τὰς ἀληθεῖς περὶ ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ' οὐδενός ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι, ἀλλὰ προευτρεπισμένον τῇ διανοίᾳ, ὥσπέρ τινα σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καὶ ἀσείστως τῶν τε βιαίων πνευμάτων τὰς προσβολὰς ὑπομένειν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ τρὸς ἡμῶν Βασιλείου, λόγ. ιη.

ΠΕΡΙ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ.



ΟΤΑΝ μέλλῃς ἐπί τινα ὁρμᾶν ἁμαρτίαν, ἐννόησόν μοι ἐκεῖνο τὸ φρικτὸν καὶ ἀφόρητον τοῦ Χριστοῦ δικαστήριον, ἐν ᾧ προκαθέζεται μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ ἐπηρμένου ὁ κριτής, παρέστηκε δὲ πᾶσα ἡ κτίσις ὑποτρέμουσα τὴν ἐπιφάνειαν αὐτοῦ τὴν ἔνδοξον· παράγεσθαι δὲ μέλλομεν καθ᾽ ἕνα, εἰς ἐξέτασιν τῶν βεβιωμένων ἡμῖν εἶτα τῷ πολλὰ πονηρὰ πεποιηκότι κατὰ τὸν βίον, φοβεροί τινες καὶ κατηφεῖς παρίστανται ἄγγελοι, πῦρ βλέποντες, πῦρ διαπνέοντες, διὰ τὴν πονηρίαν τῆς προαιρέσεως· νυκτὶ ἐοικότες τὰ πρόσωπα, διὰ τὸ κατηφὲς καὶ μισάνθρωπον· εἶτα βά-

ερεθρον βαθὺ, καὶ σκότος ἀδιεξόδευτον, τὸ πῦρ ἀλαμπὲς ἐν τῷ σκότει, τὴν μὲν καυστικὴν δύναμιν ἔχον, τὸ δὲ φῶς ἀφῃρημένον· εἶτα σκωλήκων τι γένος ἰοβόλων καὶ σαρκοφάγων, ἀπλήστως ἐσθίον καὶ μηδέ ποτε κορεννύμενον, ἀφορήτους ὀδύνας ἐμποιοῦν τῇ καταβρώσει· εἶτα τὴν πασῶν χαλεπωτάτην κόλασιν, τὸν ὀνειδισμὸν ἐκεῖνον, καὶ τὴν αἰσχύνην τὴν αἰώνιον. ταῦτα καὶ τούτων τῷ φόβῳ παιδαγωγούμενος, οἱονεὶ χαλινῷ τινὶ ἀνάκοπτε τὴν ψυχὴν ἀπὸ τῆς πρὸς τὰ φαῦλα ἐπιθυμίας. Ο γὰρ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος, καθ' ἣν πᾶσα ἡ κλίσις παραστήσεται πρὸς τὸν κριτὴν, τὰς εὐθύνας τῶν πεπραγμένων ἀποδιδοῦσα, καὶ ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου κριτηρίου ἀπολογίαν, ὁ τοιοῦτος ἢ οὐδὲν παντελῶς, ἢ ἐλάχιστα ἁμαρτήσεται, διότι τὸ ἁμαρτάνειν ἡμῖν, κατὰ ἀπουσίαν τοῦ φόβου τοῦ θεοῦ γίνε-

ται· οἷς δ' ἂν ἐναργὴς πάρῃ ἡ τῶν ἀπειλουμένων ἡ προσδοκία, οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις ὁ σύνοικος φόβος, εἰς ἀβουλήτους πράξεις ἢ ἐνθυμήσεις ἐκπεσεῖν.

Καὶ γὰρ καὶ οἱ γενναῖοι τοῦ θεοῦ ἀθληταί, ἰσχυρῶς παρὰ πάντα τὸν βίον ἑαυτῶν τοῖς ἀοράτοις ἐχθροῖς προσπαλαίσαντες, ἐπειδὰν πάσας αὐτῶν ὑπεκφύγωσι τὰς διώξεις, πρὸς τῷ τέλει τοῦ βίου γενόμενοι, ἐρευνῶνται ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος, ἵνα ἐὰν μὲν εὑρεθῶσιν ἔχοντες τραύματα ἀπὸ τῶν παλαισμάτων, ἢ σπίλους τινὰς καὶ τύπους τῆς ἁμαρτίας, κατασχεθῶσιν· ἐὰν δὲ ἄτρωτοι εὑρεθῶσι καὶ ἄσπιλοι, ὡς ἀκράτητοι ὄντες, ὡς ἐλεύθεροι, ὑπὸ Χριστοῦ ἀναπαύωνται. Καὶ ταῦτα μάθοις ἂν ἐξ αὐτοῦ τοῦ κυρίου λέγοντος περὶ τὸν καιρὸν τοῦ πάθους, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἔρχεται, καὶ ἐν ἐμοὶ ἕξει οὐδέν. ἀλλ' ὁ μὲν μὴ ποιήσας ἁμαρτίαν, ἔλεγχον ἔχει οὐδέν· ἀνθρώπῳ

δέ,

ἐστὶ αὔταρκες, ἐὰν τολμήσῃ εἰπεῖν, ὅτι ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἕξει ὀλίγα καὶ μικρά. Εννόησόν μοι τοιγαροῦν τὰ ἀπὸ τοῦ θεοῦ φοβερὰ ἐπιπίπτοντα τοῖς κολαζομένοις, ὅταν σκότωσις μὲν γίνηται ἀστέρων, ἀφεγγὴς δὲ ὁ ἥλιος, καὶ ἡ σελήνη οὐκ ἔστι πεφωτισμένη, ὅταν σκηπτοὶ διατρέχοντες, καὶ βρονταὶ φοβερῶς καταῤῥηγνύμεναι· ὅταν ὑπὲρ κεφαλῆς ἀὴρ ἐσκοτισμένος ὑπάρχῃ, ὡς πανταχόθεν ἀπαραμύθητον εἶναι τοῖς τῇ ὀργῇ παραδεδομένοις τὴν βάσανον. ἡ γὰρ κτίσις τῷ ποιήσαντι ὑπηρετοῦσα, ἐπιτείνεται μὲν εἰς κόλασιν κατὰ τῶν ἀδίκων, ἀνίεται δὲ εἰς εὐεργεσίαν ὑπὲρ τῶν ἐπ᾽ αὐτῷ πεποιθότων· καὶ καθάπερ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, οὕτω καὶ παροξυσμὸς καὶ λύπη ἐπὶ τοῖς ἀποστατοῦσι διὰ τῆς ἁμαρτίας τοῦ κτίσαντος. Τότε δὲ πῦρ ἡτοιμασμένον εἰς κόλασιν τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐ-

τοῦ, διακόπτεται τῇ φωνῇ τοῦ κυρίου, ἵνα ἐπειδὴ δύο εἰσὶ ἐν τῷ πυρὶ δυνάμεις, ἥ τε καυστικὴ, καὶ φωτιστικὴ, τὸ μὲν δριμὺ καὶ κολαστικὸν τοῦ πυρὸς, τοῖς ἀξίοις τῆς καύσεως προσαπομείνῃ· τὸ δὲ φωτιστικὸν αὐτοῦ καὶ λαμπρὸν, τῇ φαιδρότητι τῶν εὐφραινομένων ἀποκληρωθῇ· ὡς ἀλαμπὲς εἶναι τὸ πῦρ τῆς κολάσεως, ἄκαυστον δὲ τὸ τῆς ἀναπαύσεως ἀπομείνῃ. Καὶ μὴ ἀμφίβαλλε. ἐν γὰρ ταῖς τῶν βεβιωμένων ἡμῖν ἀνταποδόσεσι, τοῦ πυρὸς ἡ φύσις διαιρεθήσεται· καὶ τὸ μὲν φῶς εἰς ἀπόλαυσιν τοῖς δικαίοις, τὸ δὲ τῆς καύσεως ὀδυνηρὸν τοῖς κολαζομένοις ἀποταχθήσεται. Φοβερωτέρα δὲ τοῦ σκότους καὶ τοῦ πυρὸς τοῦ αἰωνίου ἡ αἰσχύνη ἐστὶν, ἣ μέλλουσι συνδιαιωνίζειν οἱ ἁμαρτωλοὶ, ἀεὶ ἐν ὀφθαλμοῖς ἔχοντες τὰ ἴχνη τῆς ἐν σαρκὶ ἁμαρτίας, οἱονεί τινὸς βαφῆς ἀνεκπλύντου, τῇ μνήμῃ τῆς ψυχῆς αὐτῶν εἰς τὸ διηνεκὲς ἀναμένοντα. ὀλίγων δέ ἐστι τὸ προσελθεῖν

τῷ φωτὶ τῷ ἀληθινῷ, καὶ ἀποκαλύψαι, ἐς μετὰ τὴν ἀποκάλυψιν τῶν κρυπτῶν, μὴ ἀπελθεῖν αἰσχυνθέντας τὰ πρόσωπα.

Θεοῦ γὰρ ἀλλοτρίωσις καὶ ἀποστροφὴ, καὶ τῶν ἐν τῇ γεέννῃ προσδοκωμένων κολάσεων, ἀφορητοτέρα ἐστὶ καὶ βαρυτέρα τῷ παθόντι, ὡς ὀφθαλμῷ φωτὸς στέρησις, κἂν μὴ ὀδύνη προσῇ. Πᾶσαν γὰρ ὁμοῦ τὴν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τις συλλαβὼν, καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν, οὐδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην· ἀλλὰ πλεῖον τῶν ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθινῶν ἀπολείπεται, μᾶλλον δὲ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσούτῳ καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων, διὰ τὸ, ὁ μὲν διαρρήσεται πολλὰς,

ὁ δὲ ὀλίγας, τέλος εἶναι τῆς κολάσεως τοῖς κολαζομένοις φασὶ, ὥσπερ οὐκ ἐν τῇ τοῦ χρόνου παρατάσει ἢ συμπληρώσει, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς κολάσεως γίνεται. τοῦ γὰρ κυρίου, ποτὲ μὲν ἀποφαινομένου, ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· ποτὲ δὲ ἐκπέμποντός τινας εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς, καὶ ἐπιφέροντος, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται· καὶ ἔτι πάλαι διὰ τοῦ προφήτου περὶ τινῶν εἰρηκότος, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· Τούτων καὶ τῶν τοιούτων πολλαχοῦ τῆς θεοπνεύστου γραφῆς κειμένων, ἓν πάντως καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων ὥσπερ ἐπιλανθανομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ κυρίου ἀποφάσεων, τέλος κο-

λάσεως εἰς τὸ μᾶλλον κατατολμᾶν τῆς ἁ-
μαρτίας, ἑαυτοῖς ὑπογράφειν. εἰ γὰρ τῆς αἰω-
νίου κολάσεως ἔσται ποτὲ τέλος, ἕξει πάν-
τως καὶ ἡ αἰώνιος ζωή· εἰ δὲ ἐπὶ τῆς ζωῆς τοῦ-
το νοῆσαι οὐ καταδεχόμεθα, πῶς ἂν ἔχοι λό-
γον τῇ κολάσει τῇ αἰωνίῳ τέλος διδόναι. ἡ
γὰρ τοῦ αἰωνίου προσθήκη, ἀφ' ἑκατέρων ἐπί-
σης κεῖται. ἀπελεύσονται γὰρ οὗτοι, φησὶν, εἰς
κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώ-
νιον· ὥστε καὶ τὸ δαρήσεται πολλὰς καὶ ὀλί-
γας, οὐχὶ τέλος, ἀλλὰ διαφορὰν κολά-
σεως δηλοῖ. Εἰ γὰρ ὁ θεὸς δίκαιος κριτής
ἐστιν, οὐ μόνον τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς πο
νηροῖς, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὴν πρᾶξιν
αὐτοῦ, δύναται εἶναι, ὁ μέν τις πυρὸς ἀσβέστου
ἄξιος, καὶ τούτου ἤτοι μαλακωτέρου, ἢ μᾶλ
λον φλέγοντος· ὁ δέ τις σκώληκος ἀτελευ-
τήτου, καὶ τούτου πάλιν, ἢ πρᾳότερον ὀδυ-
νῶντος, ἢ σφοδρότερον, κατὰ τὴν ἀξίαν ἑκά-
στου· καὶ ὅλως γεέννης διάφορα πάντως

ἐχούσης τὰ κολαστήρια, καὶ ἕτερος τοῦ ἐξωτέρου σκότους· ἔνθα ὁ μέν τις ἐν κλαυθμῷ μόνον, ὁ δέ τις καὶ ἐν βρυγμῷ τῶν ὀδόντων, διὰ τὸ ἐπιτεταμένον τῶν πόνων γίνεται. Ἐκ τοῦ ἐξώτερον δὲ σκότος, ἀποφαίνει πάντως εἶναι καὶ ἐσώτερον, ἐκ τοῦ εἰς πυθμένα ἅδου ἐν παροιμίαις εἰρημένον, δηλοῖ ὅτι εἰσί τινες ἐν τῷ ἅδῃ μέν, οὐκ ἐν πυθμένι δὲ ἅδου, κουφοτέραν ὑπομένοντες τὴν κόλασιν. Καὶ μή με νομίσῃς ὥσπερ μητέρα τινὰ τροφὸν, ψευδῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περὶ τοὺς νηπίους τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, καὶ δι' ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. Ταῦτα γὰρ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδὴς περικεκηρυγμένος φωνῇ· καὶ ἴσθι ἀκριβῶς, ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής. Ἔθλιψας τὸν ἀδελφόν; ἐκδέχου τὸ ἴσον. ἥρπασας τὰ τῶν ὑποδεεστέρων; κατεκονδύλι-

σας πένητας; κατήσχυνας ἐν λοιδορίαις; ἐσυκοφάντησας; κατεψεύσω; λῃστείοις ἐπεβούλευσας γάμοις; ἐπιόρκησας; ὅρια πατέρων μετέθηκας; κλήμασιν ὀρφανῶν ἀπῆλθες; χήρας ἐξέθλιψας; τὴν παροῦσαν ἡδονὴν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν προετίμησας; ἐκδέχου τοίνυν τὴν ἀντιμέτρησιν. οἷα γὰρ ἂν σπείρῃ ἕκαστος, τοιαῦτα καὶ θερίσει.

Καὶ μέντοι καὶ εἴ τι τῶν ἀγαθῶν πέπρακταί σοι, κἀκείνων ἐκδέχου παραπλησίως τὰς ἀντιδόσεις. Λάβε τοίνυν εἰς ἔννοιαν τὴν ἐσχάτην ἡμέραν, ὦ ἄνθρωπε· οὐ γὰρ δὴ σὺ μόνος τὸν αἰῶνα βιώσῃ· καὶ συνοχήν, καὶ πνιγμόν, καὶ θανάτου ὥραν, καὶ ἀπόφασιν θεοῦ κατεπείγουσαν, καὶ ἀγγέλους ἐπισπεύδοντας, καὶ ψυχὴν ἐν τούτοις δεινῶς θορυβουμένην, καὶ ἁμαρτωλῷ συνειδότι πικρῶς προσμαστιγουμένην, καὶ πρὸς τὰ τῇδε ἐλεεινῶς ἐπιστρεφομένην, καὶ ἀπαραίτητον τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνάγκην.

Διάγραφόν μοι τῇ διανοίᾳ τὴν τελευταίαν τοῦ κοινοῦ βίου καταστροφήν, ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ. ἥξει γάρ, καὶ οὐ παρασιωπήσεται, ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· ὅταν ἡ σάλπιγξ ἐκείνη μέγα τι καὶ φοβερὸν ἠχήσασα, τοὺς ἀπ᾽ αἰῶνος ἐξυπνίσῃ καθεύδοντας· καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Μνήσθητι τῆς τοῦ Δανιὴλ θεοπτίας, ὅπως ἡμῖν ὑπ᾽ ὄψιν ἄγει τὴν κρίσιν. ἐθεώρουν φησὶν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς ἡμερῶν ἐκαθέζετο, ποταμὸς πυρὸς εἵλκυεν ἔμπροσθεν αὐτοῦ, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν, τὰ καλά, τὰ φαῦλα, τὰ φανερά, τὰ κεκρυμμένα, τὰ πράγματα, τὰ ῥήματα, τὰ ἐν-

θυμήματα, τὰ πάντα ἀθρόως εἰς ἐξάκουστον τοῖς πᾶσι καὶ ἀγγέλοις καὶ ἀνθρώποις, σαφῶς ἀνακαλύψουσι. πρὸς ταῦτα, ποταποὺς εἶναι ἀνάγκη τοὺς κακῶς βεβιωκότας· ποῦ ἄρα ἡ ψυχὴ ἐκείνη καταδύσεται, ἡ ἐν ὄψεσι τοσούτων θεατῶν ἐξαίφνης ὀφθεῖσα αἰσχύνης ἀνάπλεως· ποίῳ δὲ σώματι τὰς ἀπεράντους ἐκείνας καὶ ἀνυποίστους ὑποστήσεται. μάστιγας, ὅπου πῦρ ἄσβεστον, καὶ σκώληξ ἀθάνατα κολάζων, καὶ πυθμὴν ἅδου σκοτεινὸς καὶ φρικώδης, καὶ οἰμωγαὶ πικραί, καὶ ὀλολυγμὸς ἐξαίσιος, καὶ κλαυθμός, καὶ βρυγμὸς ὀδόντων, καὶ πέρας οὐκ ἔχει τὰ δεινά. τούτων οὐκ ἔστιν ἀπαλλαγὴ μετὰ θάνατον, οὐδέ τις ἐπίνοια, οὐδὲ μηχανὴ τοῦ ἐκδῦναι τὰ πικρὰ κολαστήρια. Ταῦτα φυγεῖν ἔξεστι νῦν· ἕως ἔξεστιν, ἑαυτοὺς ἀπὸ τοῦ πτώματος ἀναλάβωμεν, μηδ᾽ ἀπελπίσωμεν ἑαυτῶν, ἐὰν ἀναλύσωμεν ἀπὸ τῶν κακῶν· ἔστιν ὁδὸς σωτηρίας, ἐὰν θέλωμεν. οὐ ζητεῖ ὁ

ποιμὴν ὁ καλός, ὁ καταλιπὼν τὰ μὴ πεπλανημένα· ἐὰν ἐπιδῷς σεαυτόν, οὐκ ὀκνήσει οὐδὲ ἀπαξιώσει σε ὁ φιλάνθρωπος ἐπὶ τῶν ὤμων βαστάσαι τῶν ἰδίων, χαίρων ὅτι εὗρεν αὐτοῦ τὸ πρόβατον τὸ ἀπολωλός. Εστηκεν ὁ πατὴρ καὶ ἀναμένει τὴν σὴν ἀπὸ τῆς πλάνης ἐπάνοδον· μόνον ἀνάλυσον, καὶ ἔτι σου μακρὰν ὄντος, προσδραμὼν ἐπὶ τὸν τράχηλόν σου, καὶ φιλικοῖς ἀσπασμοῖς περιπλέξεται τὸν ὑπὸ τῆς μετανοίας ἤδη κεκαθαρμένον· κἂν ἐγκαλέσῃ τις τῶν ἑστάναι δοκούντων, ὅτι ταχὺ προσελήφθης, αὐτὸς ὡς ἀγαθὸς ὑπὲρ σοῦ ἀπολογήσεται λέγων, εὐφρανθῆναι δεῖ καὶ χαρῆναι, ὅτι οὗτος ὁ υἱός μου, νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς καὶ εὑρέθη. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑ
τρὸς ἡμῶν Βασιλείου, λόγ. ιε.

ΠΕΡΙ ΑΡΧΗΣ ΚΑΙ ΕΞΟΥΣΙΑΣ.

ΚΑΛΟΝ ἀεὶ μὲν χεῖρον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι. πολλάκις γὰρ ἀκρισία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο. προσήκει τοίνυν τὸν ἐπὶ πάντων ἐπὶ συνέσει καὶ εὐσταθείᾳ, καὶ τῇ κατὰ τὴν ζωὴν ἀκριβείᾳ μεμαρτυρημένον διαφέρειν, τοῦτον προστήσεσθαι εἰς τὸ καθηγεῖσθαι τῶν ἄλλων, ἵνα μὲν ἐν τούτῳ ἀγαθὸν κοινὸν πάντων τῶν μιμουμένων γίνηται. Πρὸς γὰρ μὲν τῶν κρατούντων ἦθος πλάττεσθαι πέφυκεν ὡς τὰ πολλὰ μὲν ἀρχόμενον· ὥστε ὁποῖοί ποτ' ἂν οἱ ἄρχοντες ὦσι, τοιοῦτον ἀνάγκη καὶ τὸν ἀρχόμενον εἶναι·

Καὶ ὁποῖοι δ' ἂν ὦσιν οἱ προεστῶτες,

τοιαῦτα ὡς ἐπὶ πολὺ καὶ τὰ ἤθη τῶν ἀρχομένων πέφυκε γίνεσθαι. Καὶ ὥσπερ εἰ πλείονες ζωγράφοι ἑνὸς προσώπου χαρακτῆρα γράφοιεν, πᾶσαι αἱ εἰκόνες ὁμοίως πρὸς ἀλλήλας ἕξουσι, διὰ τὸ τῷ ἑνὶ ὁμοιοῦσθαι· οὕτως τὰ πολλὰ ἤθη, εἰ πρὸς τὴν τοῦ ἑνὸς μίμησιν βλέποι, πᾶσιν ὁμοίως ἀγαθὸς τοῦ βίου χαρακτὴρ ἐπιλάμψει. Καὶ γὰρ ἡ ἀληθὴς καὶ τελεία ὑπακοὴ τῶν ὑποχειρίων πρὸς τὸν προεστῶτα ἐν τούτῳ δείκνυται, ἐν τῷ μὴ μόνον τῶν ἀτόπων κατὰ τὴν συμβουλὴν αὐτοῦ ἀπέχεσθαι, ἀλλὰ μηδὲ αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν. ἡ γὰρ ἐγκράτεια καὶ πᾶσα ἡ σωματικὴ κακοπάθεια, πρόσεστι χρησίμως ἔχει· ἀλλ᾽ ἐάν τις ταῖς ἰδίαις ὁρμαῖς ἀκολουθῶν, ὃ ἀρέσκει ἑαυτῷ ποιῇ, καὶ συμβουλεύοντι τῷ προεστῶτι μὴ πείθηται, μεῖζον τοῦ κατορθώματος ἔσται ὃ πλημμελούμενον. ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ

κυρίου διαταγὴ ἀνθέστηκε· καὶ ὁ τῆς ὑπακοῆς μισθὸς, μείζων τοῦ κατὰ τὴν ἐγκράτειαν ἐστὶ κατορθώματος. Ὁ τοίνυν ἔχων ἐν ἐξουσίᾳ τὴν τοῦ κακοῦ θεραπείαν, ἑκὼν δὲ ὑπερτιθέμενος, εἰκότως ἂν ἐν τῷ ἴσῳ τῶν αὐτοχείρων καταδικάζοιτο. Καὶ τὸν προεστῶτα δὲ μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης. Οὐ γὰρ δήπου βασιλείας μέν τις ὑπηρετῶν μέγα φρονήσει, ἀλλὰ τὸ ἐν τῇδε τῇ τάξει τῆς ὑπηρεσίας τετάχθαι, θεῷ δὲ καταξιωθεὶς λατρεύειν, ἀλλαχόθεν τοῖς ἐπαίνοις ἑαυτῷ περινοήσει, ὡς οὐκ ἀρκούσης αὐτῷ τῆς ἐπικλήσεως τοῦ κυρίου πρὸς πᾶσαν δόξης καὶ περιφανείας ὑπερβολήν. ἀρκεῖ γὰρ ἡμῖν πρὸς ἅπαν ἀξίωμα τὸ τηλικούτου δεσπότου δούλους ἡμᾶς ὀνομάζεσθαι. Καὶ ὥσπερ οὐδὲ σέβειν ἄλλο τι παρὰ τὸν θεὸν προσήκει, οὕτως οὐδὲ ἐπὶ ἄλλον ἐλπίζειν, ἢ ἐπὶ τὸν θεὸν τὸν πάντων κύριον·

ὁ γὰρ ἐπ' ἄνθρωπον ἐλπίζων, ἢ ἐπ' ἄλλο τι τῶν κατὰ τὸν βίον μετεωριζόμενος, οἷον ἐπὶ δυναστείᾳ, ἢ χρήματα, ἢ τι τῶν παρὰ τοῖς πολλοῖς νομιζομένων εἶναι λαμπρῶν, οὐ δύναται εἰπεῖν, κύριος ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα. παράγγελμα γάρ ἐστι μὴ ἐλπίζειν ἐπ' ἄρχοντας, καὶ ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον. Μακάριος οὖν τῷ ὄντι, ὁ μηδενὶ τῶν κατὰ τὸν βίον ὑψηλῶν ἐπαγαλλόμενος, ἀλλὰ ἔχων τὴν ἑαυτοῦ δόξαν ἐπὶ τὸν κύριον, ὁ καύχημα ἑαυτοῦ ἔχων τὸν θεὸν, ὁ δυνάμενος λέγειν κατὰ τὸν ἀπόστολον, ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. εἰ γὰρ ὁ δεῖνα μέγα φρονεῖ ὅτι δοῦλός ἐστι βασιλέως, τιμώμενος παρ' αὐτοῦ τὰ μεγάλα, πόσον σοι προσήκει ἐπὶ σαυτῷ μεγαλύνεσθαι, ὅτι δοῦλος εἶ τοῦ μεγάλου βασιλέως, προσκληθεὶς παρ' αὐτοῦ εἰς τὴν ἄκραν οἰκείωσιν. Ὁ γὰρ ἀληθῶς ἄρχων, οὐκ ἐκ τῶν ἔξωθεν συμβόλων

γνωρίζεται, οὐ πορφυρᾶς χλανίδος, καὶ διαδήματος, ἀλλ' ἐκ τοῦ ἔχειν τὴν ἀρχικὴν ἀρετήν· ὁ δὲ ἀρχόμενος ὑπὸ τῶν ἡδονῶν, καὶ ἀγόμενος ἐπιθυμίαις πολλάκις, δοῦλος ὢν τῆς ἁμαρτίας, ἀνεπιτήδειος πρὸς τὸ ἄρχειν καθέστηκε. Καὶ τὸ μὲν τοὺς ἀντιτείνοντας ὑπὸ χεῖρα λαμβάνειν, ἀνδρείου τε καὶ ἄρχοντος ὡς ἀληθῶς· τὸ δὲ τοῖς ὑποπεπτωκόσι χρηστὸν εἶναι καὶ πρᾶον, μεγαλοφροσύνῃ πάντων τῇ ἡμερότητι διαφέροντος. κύριοι μὲν γὰρ τῶν ἠδικηκότων πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν, ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγος. ἀφῆκαν δὲ τὴν ὀργὴν οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες, ὧν ἀθάνατος ἡ μνήμη τῷ χρόνῳ παντὶ παραδέδοται. τοὺς γάρ τοι ὁτιοῦν ἀδικοῦντας, οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν· τίς γὰρ γένοιτο μηχανή, μὴ γεγενῆσθαι τὰ πεπραγμένα; ἀλλ' ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο, ἢ ἑτέ-

ερις ὑπεδείξαμεν τοῦ σωφρονεῖν παράδειγμα.

Πολλάκις γὰρ καὶ ἐν τοῖς σμικροτάτοις ἡ σοφία τοῦ θεοῦ διαφαίνεται. ὁ γὰρ οὐρανὸν ἁπλώσας, καὶ τὰ ἄπλετα μεγέθη τῶν πελάγων ἀναχέας, οὗτός ἐστιν ὁ καὶ τὸ λεπτότατον κέντρον τῆς μελίσσης κοιλάνας, ὥσπερ αὐλόν, ὥστε τὸν ἰὸν δι' αὐτοῦ ἐκχεῖσθαι.

Τοῦτον σαρκὸς μὲν ὀφθαλμοῖς θεωρῆσαι ἀδύνατον· τὸ γὰρ ἀσώματον, σαρκὸς ὄμμασιν ὑποπίπτειν οὐ δύναται· καὶ μεμαρτύρηκεν αὐτὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ λέγων, θεὸν οὐδεὶς πώποτε τεθέαται; εἰ γὰρ καὶ κατὰ τὸ γεγραμμένον εἶδεν ὁ Ἰεζεκιὴλ, ἀλλὰ τί λέγει ἡ γραφή· εἶδεν ὁμοίωμα δόξης κυρίου, οὐ μὴν δὲ αὐτὸν τὸν κύριον· ἀλλ' οὐδὲ αὐτὴν τὴν δόξαν, ὡς ἔστιν ἀληθῶς καὶ ἰδὼν τὸ ὁμοίωμα τῆς δόξης, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τοῦ φόβου. εἰ δὲ τὸ τῆς δόξης ὁμοίωμα θεαθὲν, φόβον καὶ ἀγωνίαν περιεποίει τοῖς ἀνθρώποις, αὐτὸν εἴ-

τις

τις ἂν ἐθεώρησε τὸν θεόν, πάντως ἂν ἀπηλλάττετο κατὰ τὸ εἰρημένον, οὐδεὶς ὄψεται τὸν θεὸν καὶ ζήσεται. διὰ τοῦτο καὶ κατὰ τὴν μεγίστην αὐτοῦ φιλανθρωπίαν ὁ θεὸς, παραπέτασμα τῆς οἰκείας θεότητος ἐξέτεινε τὸν οὐρανὸν, ἵνα μὴ ἀπολώμεθα· οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ προφήτης εἶπεν, ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται παρ' αὐτά. Καὶ τί θαυμάζεις, εἰ ὁ Ἰεζεκιὴλ, τὸ ὁμοίωμα τῆς δόξης ἰδὼν ἔπεσεν· ὁ Δανιὴλ οἰκέτην ἰδὼν τοῦ κυρίου, καὶ ἔπηξε, καὶ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἄγγελος ὅτου ἐξεβιβάζετο εἰς ὁμοίωμα υἱοῦ θεοῦ, οὐκ ἐτόλμησεν ἀποκριθῆναι· εἰ δὲ Γαβριὴλ ὁ παλαιόμενος, τρόμον ἐποίει προφήταις ἀνθρώποις τοῦ θεοῦ, εἰ ἦλθε καθὼς ἦν, οὐκ ἂν ἀπώλλυντο πάντες; πάντη που δῆλον. Εἰ τοίνυν θέλεις γνῶναι σαφῶς, ὅτι φύσιν θεοῦ καταλαβεῖν ἀδύνατον, μάνθανε τί λέγουσιν οἱ τρεῖς παῖδες ἐν τῇ κα-

μίνῳ τοῦ πυρὸς ὑμνολογοῦντες τὸν θεὸν, εὐλογητὸς εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβίμ. εἰπέ μοι τῶν Χερουβὶμ τίς ἐστιν ἡ φύσις, καὶ τότε τὸν ἐπικαθήμενον θεωρεῖς. καίτοι γε Ἰεζεκιὴλ ὁ προφήτης καὶ τὴν ἔκφρασιν αὐτῶν ἐποιήσατο δυνατῶς λέγων, ὅτι τέσσαρα πρόσωπα τῷ ἑνί· τὸ μὲν ἀνθρώπου, τὸ δὲ λέοντος, τὸ δὲ ἀετοῦ, τὸ δὲ μόσχου· καὶ ὅτι ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ὅτι ὀφθαλμοὶ αὐτοῖς πανταχόθεν, καὶ ὅτι ὑπὸ καθ᾽ ἕκαστον τροχὸς τετράγωνος ὑποκείμενος· καὶ ὅμως τοῦ προσώπου τὴν ἔκφρασιν πεποιημένου, οὔπω ἡμεῖς οὔτε ἀναγινώσκοντες καταλαβεῖν δυνάμεθα. εἰ δὲ τὸν θρόνον ὃν διηγήσατο, καταλαβεῖν οὐ δυνάμεθα, τὸν ἐπικαθήμενον ἀόρατον θεὸν πῶς καταλαβεῖν δυνησόμεθα. τὸ μὲν γὰρ πρόσωπον πρὸς πρόσωπον, καὶ ἡ τελεία ἐπίγνωσις τῆς τοῦ θεοῦ ἀκαταλήπτου μεγαλειότητος, ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις ἀποδοθῆναι ἐπήγ-

ζηται· νῦν δὲ κἂν Παῦλός τις ᾖ, κἂν Πέτρος, βλέπει μὲν ἀληθῶς, καὶ οὐ πλανᾶται, οὐδὲ φαντάζεται, δι' ἐσόπτρου δὲ ὅμως βλέπει καὶ ἐν αἰνίγματι, καὶ τὸ ἐκ μέρους νῦν ἀναγκαίως διηγούμενος, τὸ τέλειον εἰς τὸ μέλλον περιχαρῶς ἐκδέχεται. τὸ γὰρ δοκοῦν νῦν ἐν τῇ γνώσει τέλειον, βραχύ τι καὶ ἀμυδρότερον τοσοῦτόν ἐστιν, ὡς πλέον ἀπολιμπάνεσθαι τῆς ἐν τῷ μέλλοντι αἰῶνι τρανότητος, ἢ ὅσον ἀπολιμπάνεται τοῦ προσώπου πρὸς πρόσωπον. τοσοῦτον μὲν οὖν τῆς ἐπιγνώσεως τοῦ θεοῦ τὸ ἀπέραντον, τοσοῦτον δὲ τῆς ἀνθρωπίνης φύσεως τὸ τῶν θείων μυστηρίων ἐν τῷ παρόντι ἀνέφικτον, ἀεὶ μὲν κατὰ προκοπὴν ἑκάστου προστιθεμένου τοῦ πλείονος, ἀεὶ δὲ τοῦ πρὸς ἀξίαν ἀπολιμπανομένων ἁπάντων, ἄχρις ἂν ἔλθῃ τὸ τέλειον, ὅτε τὸ ἐκ μέρους καταργηθήσεται. Ὁ δὲ ἐφικτὴν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν, ὁδῷ τινὶ πάντως καὶ ἀκολου-

διὰ διὰ τῆς τῶν ὄντων γνώσεως περιέβαλλεν, ἑαυτοῦ τὴν διάνοιαν, καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγυμνασθεὶς διὰ τῆς καταλήψεως, οὕτως καὶ εἰς τὴν ἐπέκεινα πάσης ἐννοίας περιήγαγεν ἑαυτὸν καταληπτικὴν φαντασίαν. Οὐκ οὖν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος, ὁ σμικρότατον τῶν περιφαινομένων ὅπως ἔχῃ φύσεως ἑρμηνευσάτω, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις εἰπάτω· εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή· εἰ ὀστέοις τὸ σῶμα διείληπται· εἰ νεύροις καὶ ἐνδέσμοις τὰς ἁρμονίας τετόνωται· εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις· εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς συμπαρατείνεται· εἰ ἐπὶ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν· εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ, καὶ

χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος, νεφροί τε
καὶ καρδία, καὶ ἀρτηρίαι, καὶ φλέβες, ὑμένες,
καὶ διαφράγματα· εἰ ψιλόν ἐστιν, ἢ τετρίχω-
ται· μονότοκόν ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βά-
σεις· πόσον δὲ βιοῖ τὸν χρόνον, καὶ τίς αὐτοῖς ὁ
τρόπος τῆς ἐξ ἀλλήλων γεννήσεως· ἐπὶ πόσον
δὲ κυΐσκεται τὸ τικτόμενον, καὶ πῶς οὔτε πε-
ζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι
πάντες· ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἑρπομένων
εἰσίν, οἱ δὲ διαέριοι φέρονται. Ὁ τοίνυν
τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων, πῶς
τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω· εἶθ' οὕτως
φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέ-
χουσαν δύναμιν. εἰ δὲ τοῦ βραχυτάτου
μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν
φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ θεοῦ δύ-
ναμιν μεγαλαυχεῖς φαντάζεσθαι. τὸ γὰρ
οἴεσθαι τοῦ ἐπὶ πάντων θεοῦ αὐτὴν τὴν
οὐσίαν ἐξευρηκέναι, πολλῆς ὑπερηφανίας
ἐστὶ καὶ φυσιώσεως. σχεδὸν γὰρ καὶ αὐτὸν ἀπο-

κρύπτουσι τῇ μεγαληγορίᾳ τὸν εἰπόντα, ἐπάνω τῶν ἄστρων θήσομαι τὸν θρόνον μου. οὐχ ὁ μὲν μέγας Δαβὶδ, ᾧ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς ἑαυτοῦ σοφίας ἐδήλωσεν ὁ θεὸς, φανερῶς ὁμολογεῖ τῆς γνώσεως τὸ ἀπρόσιτον, λέγων, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ; Ἡσαΐας δὲ ὁ ἐν θεωρίᾳ τῆς δόξης τοῦ θεοῦ γενόμενος, τί περὶ τῆς θείας οὐσίας ἐδήλωσεν ἡμῖν· ὥστε ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ διαμαρτύρεται λέγων, τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται· τί δὲ τὸ σκεῦος τῆς ἐκλογῆς Παῦλος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὁ ἕως τρίτου ἁρπαγεὶς οὐρανοῦ, ὁ τὰ ἄρρητα ἀκούσας ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, τίνα ἡμῖν περὶ οὐσίας θεοῦ διδασκαλίαν ἀφῆκεν· ὅς γε, ὅτε εἰς τοὺς μερικοὺς τῆς οἰκονομίας ἐδείκνυτο λόγους, οἱονεὶ ἰλιγγιάσας πρὸς τὸ τῆς θεωρίας ἀδιεξόδευτον, ἐκείνην ἐξεβόησε τὴν φωνήν· ὦ βάθος

πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνε-
ξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνία-
στοι αἱ ὁδοὶ αὐτοῦ. Εἰ δὲ ταῦτα τοῖς εἰς τὸ
τῆς Παύλου γνώσεως πεφθακόσιν ἀνέφι-
κτα, πόσος ὁ τῦφος τῶν ἐπαγγελλομένων εἰδέ-
ναι τὴν τοῦ θεοῦ τὴν οὐσίαν· οὓς ἡδέως ἂν ἐρωτήσαιμι
περὶ τῆς γῆς ἐφ' ἧς ἑστᾶσι, καὶ ἀφ' ἧς γεγόνα-
σι, τί ποτε λέγουσι, ἵνα αὐτῆς τὴν οὐσίαν
ἐπαγγέλλουσιν ἡμῖν, ἵνα ἐὰν ἄρα περὶ τῶν χα-
μαὶ καὶ ὑπὸ τοῖς ποσὶ κειμένων ἀναντιῤῥή-
τως ἡμῖν διαλεχθῶσι, τότε αὐτοῖς καὶ πε-
ρὶ τῶν ἐπέκεινα πάσης ἐννοίας διατεινο-
μένοις πιστεύσωμεν. Καὶ ὥσπερ φασὶν,
ὅτι Ἀδὰμ ἐκ τοῦ θεοῦ, καὶ ἡμεῖς αὐτοὺς ἐρω-
τήσωμεν, ὁ θεὸς ἐκ τίνος, ἆρ' οὐ πρόχειρόν
ἐστι τῇ ἑκάστου διανοίᾳ, ὅτι ἐξ οὐδενός; τὸ
δὲ ἐξ οὐδενὸς, τὸ ἄναρχόν ἐστι δηλονότι,
τὸ δὲ ἄναρχον, τὸ ἀγέννητον· ὡς οὖν ἐπ' ἀν-
θρώπων οὐκ ἦν οὐσία τὸ ἔκ τινος, οὕτως
οὐδὲ ἐπὶ θεοῦ τῶν ὅλων, οὐσίαν ἐστὶν εἰπεῖν,

ὃ ἐξ οὐδενός· ὅπερ ἴσον ἐστὶ τῷ ἀγέννητος. ὁ δὲ τὸ ἀγέννητον οὐσίαν εἶναι λέγων, παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις ἐρωτώμενος, τίς ἡ Ἀδὰμ οὐσία καὶ τίς ἡ φύσις αὐτοῦ, ὁ δὲ ἀποκρίνοιτο, μὴ ἐκ συνδυασμοῦ ἀνδρὸς καὶ γυναικός, ἀλλ᾽ ἐκ τῆς θείας χειρὸς διαπλασθῆναι. ποῖος οὖν ἔτι τόπος τῆς γνώσεως ὑπολείπεται. ἀποκρινάσθωσαν ἡμῖν οἱ περιφρονοῦντες μὲν πάντα τὰ ἐν ποσί, διαβαίνοντες δὲ τὸν οὐρανόν, καὶ πάσας τὰς ὑπερκοσμίους δυνάμεις, εἰ οὐρανοῦ μέγεθος μέτρον ἀνθρωπίνης διανοίας ἐκβαίνει, τὴν ἀΐδιον τὴν φύσιν τίς ἄρα ἐξιχνιάσαι δυνήσεται, εἰ ὁ τῇ φθορᾷ ὑποκείμενος ἥλιος οὕτω καλὸς καὶ μέγας, ὀξὺς μὲν κινηθῆναι, εὐτάκτους δὲ τὰς περιόδους ἀποδιδούς, σύμμετρον μὲν ἔχων τὸ μέγεθος τῷ παντί, ὥστε μὴ ἐκβαίνειν τὴν πρὸς τὸ ὅλον ἀναλογίαν· τῷ δὲ κάλλει τῆς φύσεως, οἷόν τις ὀφθαλμὸς διαυγὴς ἐμπρέπων τῇ

κτίσεως. Εἰ ἀκόρεστος τούτου ἡ θέα, ποταπὸς ἄρα κάλλος ὁ τῆς δικαιοσύνης ἥλιος. εἰ τυφλῷ ζημία τοῦτον μὴ βλέπειν, ποταπὴ ζημία τῷ ἁμαρτωλῷ τοῦ ἀληθινοῦ φωτὸς στερηθῆναι. εἰ γὰρ τὰ πρόσκαιρα τοιαῦτα, ποταπὰ τὰ αἰώνια· καὶ εἰ τὰ ὁρώμενα οὕτω καλά, ποταπὰ τὰ ἀόρατα, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. ις.

ΠΕΡΙ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ ΚΑΙ ΜΕΘΗΣ.



ΜΟΝΟΤΡΟΠΟΣ ὁ τοῦ χριστιανισμοῦ βίος, ἀγαπητοί, ἕνα σκοπὸν ἔχων, τὴν δόξαν θεοῦ. εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, φησὶν ὁ ἐν Χριστῷ λαλῶν Παῦλος· πολύτροπος δὲ καὶ ποικίλος ὁ τῶν ἔξωθεν βίος, ἄλλοτε ἄλλως πρὸς τὴν ἀρέσκειαν τῶν ἐντυγχανόντων μεταπλαττόμενος. εἰ οὖν μέλλοιμεν καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐνέχεσθαι, καὶ κατὰ τὴν ὑπάρχουσαν δύναμιν τὰ πρὸς ἡδονὴν ἐπιζητεῖν, καὶ πρὸς ἐπίδειξιν παρασκευάζεσθαι, φοβοῦμαι μὴ ἃ καταλύομεν, ταῦτα φανῶμεν οἰκοδομοῦντες, καὶ

δι' ὧν ἑτέρους κρίνομεν, ἑαυτοὺς κατακρίνωμεν, ἐσχηματισμένως τῷ βίῳ κεχρημένοι, καὶ ἄλλοτε ἄλλως μεταμορφούμενοι, εἰ μὴ ἄρα καὶ τὰς ἐσθῆτας ἡμῶν διαμείψωμεν ὅταν τοῖς ὑπερηφάνοις περιτυγχάνωμεν, εἰ δὲ αἰσχρὸν τοῦτο, πολλῷ αἴσχιον διὰ τοὺς τρυφῶντας τὴν τράπεζαν ἡμῶν μετασκευάζεσθαι. Πλήθη γὰρ βρωμάτων καὶ περιεργία πρὸς ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν, κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ καταχέεις αὐτοῦ γαστριμαργίας ὀνείδη, δι' ὧν παρασκευάζῃ, ἐλέγχων αὐτοῦ τὴν περὶ ταῦτα ἡδυπάθειαν. Τί οὖν ἡμῖν καὶ ταῖς πολυτελείαις· ἐπεδήμησέν τις τῶν ξένων; εἰ μὲν ἀδελφὸς καὶ τὸν αὐτὸν ἔχων σκοπὸν τοῦ βίου, τὴν οἰκείαν τράπεζαν ἐπιγνώσεται· ἃ γὰρ κατέλιπεν οἴκοι, ταῦτα παρ' ἡμῖν εὑρήσει. ἀλλὰ κέκμηκεν ἐκ τῆς ὁδοιπορίας; τοσοῦτον αὐτῷ προστίθεμεν, ὅσον τὸν κόπον παραμυθή-

ζέσθω. ἄλλος ἐλήλυθεν ἐκ τοῦ ἔξωθεν βίου; μαθέτω διὰ τῶν ἔργων, ὅσον ὁ λόγος αὐτὸν οὐκ ἔπεισε, καὶ λαβέτω τύπον τὸν ὑπογραμμὸν τῆς ἐν ταῖς τροφαῖς αὐταρκείας· ἐναπομενάτω αὐτῷ ὑπομνήματα χριστιανῶν τραπέζης, καὶ ἀνεπαισχύντου διὰ Χριστὸν πτωχείας. Εἰ δὲ οὐ προσέξει, ἀλλὰ καταγελάσει, δεύτερον ἡμῖν οὐκ ὀχλήσει. τὸ γὰρ περιτρέχειν ἡμᾶς διερευνωμένους τὰ μὴ πρὸς τὸ ἀναγκαῖον ταῖς χρείαις ἐπιζητούμενα, ἀλλὰ πρὸς τὴν ὀλέθριον ἡδονὴν καὶ βλαβερὰν κενοδοξίαν περινενοημένα, οὐ μόνον αἰσχρὸν ἡμῖν καὶ ἀσύμφωνον, ἀλλὰ καὶ βλάβην ἔχον οὐ τὴν τυχοῦσαν, ὅταν οἱ τρυφῶντες, καὶ ταῖς ἡδοναῖς τῆς γαστρὸς τὴν μακαριότητα ὁριζόμενοι, περὶ τὰς αὐτὰς φροντίδας καὶ ἡμᾶς ὁρῶσι στρεφομένους, περὶ ἃς ἐκεῖνοι ἐπτόηνται.

Ἐσθίοντες δὲ, μὴ ἀργὸν τὸν νοῦν ἐν τῇ περὶ θεοῦ ἐννοίᾳ ἔχωμεν, ἀλλὰ τὴν τῶν

βρωμάτων τὴν φύσιν, καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευὴν, ἀφορμὴν ποιεῖσθαι δοξολογίας· πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα, παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. Τροφῆς γὰρ ὥρα μία ἀποτεταγμένη ἤτω· ἡ αὐτὴ κατὰ περίοδον ἀπαντῶσα, ὡς ἐκ τῶν εἴκοσι τεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου, μίαν εἶναι μόλις ταύτην τὴν προσαναλισκομένην τῷ σώματι· τὰς δὲ λοιπὰς, ἐν τῇ κατὰ νοῦν ἐνεργείᾳ ἀπασχολεῖν. Ὁ μὲν γὰρ ἄριστα βουλευόμενος, τῆς ψυχῆς ὅτι μάλιστα φροντίσει, καὶ τοῦτο διὰ πάντων πειράσεται σώζειν εἰλικρινές τε καὶ γνήσιον· τῆς σαρκὸς δὲ ἢ λιμῷ τηκομένης, ἢ κρυμῷ καὶ θάλπει προσπαλαιούσης, ἢ νόσοις ἀλγυνομένης, ἢ πασχούσης τι παρά τινων βίαιον, ὀλίγον ποιήσεται τὸν λόγον· καὶ οὐδὲ τοὺς ὑπὲρ τοῦ ζῆν κινδύνους προσιόντας ὁρῶν, φανήσεται δειλῶς. Εἰ δέ τις ἐθέλων φείδεσθαι καὶ τοῦ

σώματος, ὡς μόνου κτήματος αὐτοῦ ἀναγκαίου ψυχῇ, καὶ συνεργοῦντος αὐτῇ πρὸς τὸ ζῆν ἐπὶ γῆς, μικρὰ πρὸς τὰς τούτου χρείας ἐπιστραφήσεται, καὶ ὥστε συνέχειν μόνον αὐτὸ, καὶ τῇ τῆς ψυχῆς ὑπηρεσίᾳ διὰ μετρίας ἐπιμελείας ἐῤῥωμένον τηρεῖν, μὴ μέντοι γε ἐπιτρέπειν ὑπὸ κόρου σκιρτᾶν. τούτοις μὲν γὰρ εὐήνιόν τε αὐτὸ καὶ κοῦφον ἀεὶ πρὸς τὴν οὐράνιον ὁδοιπορίαν ἐργάσεται, καὶ μᾶλλον εἰς τὰ προκείμενα κτήσεται συνεργόν. εἰ δὲ ὑβρίζειν αὐτὸ συγχωρήσοι, καὶ πλούτων ἐφ' ἡμέραν ἐμπίπλασθαι, καθάπερ τι θεῖον δύνηται, ὕστερον ταῖς βιαίοις αὐτὸ πρὸς γῆν αὐτὸ λχοῦς συνεπιπλασθεὶς κείσεται, ξένων δεόμενα. Καὶ πρὸς τὸν δεσπότην ἀχθεὶς, καὶ τῆς ἐπὶ γῆς πορείας τῆς ἐνδοθείσης αὐτοῦ τὸν καρπὸν ἀπαιτούμενος, εἶτα οὐκ ἔχων δοῦναι, θρηνήσει μακρὰ, καὶ σκότος οἰκήσει διηνεκὲς, πολλὰ τῇ τρυφῇ, καὶ τῇ ταύτης πληθύνῃ μεμφόμενος,

ὑφ' ἧς τὸν τῆς σωτηρίας ἐσυλήθη καιρόν. οὐδὲν δὲ ἐκ τῶν δακρύων ἔσται κερδαίνων. ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι, φησὶν ὁ Δαβίδ. Γαστὴρ, πολλάκις ἐστὶν ἀπιστότατος, ταμεῖον ἀφύλακτον, πολλῶν ἐναποτιθεμένων, ἣ μὲν βλάβην παρακατέχουσα, τὰ μέντοι παρατεθέντα οὐ διασώζουσα. Τὰ τῶν εἰς βρῶσιν ἡμῖν ἐπινενοημένα καὶ πόσιν, καὶ πάντα ὅσα πέρα τῆς χρείας ὁ πλοῦτος ὑβρίζων ἐμηχανήσατο πρὸς θεραπείαν τῆς ἀχαρίστου καὶ μηδὲν στεργούσης γαστρὸς, ὁπότ' ἂν ἡ μέρα γένοιτο, κἂν ἐπεμπλῆσαι δέῃ συνεχῶς, ἅ γε μικρὰν τινα χάριν μόνον ἐναποθέμενα κατὰ τὴν παρόδευσιν, εὐθὺς ὡς ὀχληρὰ καὶ περιττὰ δυσχεραίνομεν, ὡς εἰ τοῖς πολεμίοις ἐγχωροῖσι, τὰ μέγιστα περὶ τὸ ζῆν κινδυνεύσοντες. πολλοῖς γοῦν ὁ κόρος ἤγαγε θάνατον, καὶ τοῦ μηδενὸς ἀπολαύειν ἔτι γεγένηται πρόξενος. Η γὰρ οἰκονομοῦσα τὸ

ζῴου δύναμις, αὐτάρκειαν μὲν καὶ λιτότητα ῥᾳδίως κατειργάσατο καὶ οἰκείωσε τὰ τρεφόμενα· πολυτελῆ δὲ καὶ ποικίλην βρωμάτων παραλαβοῦσα, εἶτα ἀντιχεῖν πρὸς τὸ πέρας μὴ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν. Ὁ κόρος ὕβρεώς ἐστιν ἀρχή. εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ, καὶ ταῖς παντοδαπαῖς καρυκείαις, πᾶν εἶδος ἀκολασίας βοσκηματώδεις· ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι, διὰ τὸν ἐκ τῆς τροφῆς οἶστρον ἐπιγινόμενον τῇ ψυχῇ παρὰ τῶν μεθυόντων· καὶ αἱ τῆς φύσεως ἐναλλαγαὶ, ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητούντων. Ἐκ γὰρ τῆς παχείας τροφῆς, οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου πνεύματος ἐπινοίας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσι. Μὴ τοίνυν κολάκευέ σου τὴν σάρκα ὕπνοις καὶ λου-

τροῖς

ἐσθῆσι, καὶ μαλακοῖς στρώμασιν, ἀεὶ ἐπιλέγων τὸ ῥῆμα τοῦτο, τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν· τί περιέπεις τὸ μικρὸν ὕστερον φθαρησόμενον· τί καταπιαίνεις σεαυτὸν καὶ περισαρκοῖς· ἢ ἀγνοεῖς ὅτι ὅσῳ παχυτέραν τὴν σάρκα ἑαυτῷ ποιεῖς, τοσούτῳ βαρύτερον τῇ ψυχῇ κατασκευάζεις τὸ δεσμωτήριον. Τὸ γὰρ πλῆθος τῆς σωματικῆς δυνάμεως, ἐμπόδιόν ἐστι πρὸς τὴν σωτηρίαν τοῦ πνεύματος. δεῖ τῇ γαστρὶ τὰ ἀναγκαῖα ὑπηρετεῖν, οὐχὶ τὰ ἥδιστα, ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλατταν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, οὐδὲν δὲ πέρας τῶν πόνων ἔχοντες.

Ὥσπερ οὖν ἡ δίψα ἡδὺ τὸ ποτὸν εὐτρεπίζει, καὶ λιμὸς ἡγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν, οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν ἡ ἐγκράτεια φαιδρύνει. μέσην γὰρ ἑαυτὴν παρενθεῖσα, καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν μετάληψιν φανῆναι ποιήσει, ὥσπερ ἀπόδημον· ὥστε εἰ βούλει σαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς ἐγκρατείας μεταβολήν. σὺ δὲ ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι, λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφήν, καὶ ὑπὸ φιληδονίας τὴν ἡδονὴν ἀφανίζων. οὐδὲν γὰρ οὕτως ἐπιθυμητὸν, ὃ μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι πέφυκεν· ὧν δὲ σπανία ἡ κτῆσις, τούτων περισπούδαστος ἡ ἀπόλαυσις. Οἱ γοῦν ἀρχομηνίης ἡμέρας περισκοποῦντες ποδ πότοι γίνονται, καὶ οἰνοπώλια καὶ καπηλεῖα περιαθροῦντες, καὶ ἀλλή-

λοις ἐπὶ τὸ πίνειν παραλαμβάνοντες, καὶ πᾶσαν τῆς ψυχῆς τὴν μέριμναν ἐπὶ τὴν τῶν τοιούτων φροντίδα καταναλίσκοντες, οὗτοι ὑπὸ τοῦ προφήτου καταθρηνοῦνται. οὐ γὰρ ἄγουσι σχολὴν οἱ ὀφθαλμοὶ αὐτῶν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν, καὶ τὰ ἐν αὐτῷ κάλλη καταμαθεῖν, ἀλλ' εὐθὺς ἀρχομένης ἡμέρας κοσμοῦσιν ἑαυτῶν τὰ συμπόσια, σπουδήν τε καὶ ἐπιμέλειαν εἰς τὴν τῶν ἐκπομάτων παρασκευὴν ἐπιδείκνυνται, ψυκτῆρας, καὶ κρατῆρας, καὶ φιάλας, ὥσπερ ἐν πομπῇ τινὶ καὶ πανηγύρει διατιθέντες, ὡς δὴ τὸ τῶν ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ὑποκλέπτῃ, καὶ ἡ τῶν ἐκπομάτων ὑπαλλαγὴ καὶ μετάβασις, ἱκανὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ· τάξις ἐν ἀταξίᾳ, καὶ διάθεσις ἐν ἀκόσμῳ πράγματι ἐπινενοημένη. πρὸς τούτοις ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονεικίαι καὶ ἀγωνίσματα ἀλλήλους ὑπερβάλλεσθαι φι-

λοιπὸν μαινομένων κατὰ τὴν μέθην, καὶ ὁ ἀγωνοθετῶν αὐτοῖς διάβολος, καὶ ἆθλον τῆς νίκης, ἡ ἁμαρτία. ὁ γὰρ πλείονα τὸν ἄκρατον ἐγχεάμενος, οὗτος φέρεται κατὰ τῶν ἄλλων τὰ νικητήρια. φιλονεικοῦσι μὲν γὰρ ἀλλήλοις, ἀμύνονται δὲ ἑαυτούς. πάντα ἀλογίας γέμει, πάντα συγχύσεως. οἱ ἡττηθέντες μεθύουσιν, οἱ ὑπηρέται καταγελῶσιν. ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐχ ὑποδέχεται, ἡ γαστὴρ διαῤῥήγνυται, καὶ τὸ κακὸν οὐχ ὑφίσταται. τὸ ἄθλιον σῶμα τοῦ φυσικοῦ τόνου παραχυθὲν, ἀπόῤῥυτόν ἐστι πανταχόθεν, τὴν ἐκ τῆς ἀμετρίας βίαν ὑπομένον. ἐλεεινὸν θέαμα, ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, φοράδην οἴκαδε κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἐπιβῆναι. ἀνὴρ φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλως ἐστὶν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις. ἄνευ σιδήρου καταβέβληται,

οὐδ' ὑπὸ πολεμίων πεφόνευται· ἀνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, ἕτοιμος παθεῖν τοῖς ἐχθροῖς ὅσα ἂν βούλοιντο. Τίς ὁ τῶν κακῶν τούτων αἴτιος, τίς ὁ ταῦτα ἐπιβουλεύσας· παράταξιν ἐποίησας τὸ συμπόσιον, ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος ἀπὸ οἴνου· καὶ καλέσας μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβαλλεῖς δὲ νεκρὸν, οἴνῳ τὴν ζωὴν αὐτοῦ κατασβέσας. Τίνι διενήνοχας τῶν ἀλόγων, ὦ ἄνθρωπε· οὐ τῇ δωρεᾷ τοῦ λόγου, ἣν λαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς, μᾶλλον δὲ ἂν τῶν βοσκημάτων φαίην ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ· διότι τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία, τεταγμένας ἔχει τὰς πρὸς τὴν μίξιν ὁρμάς· οἱ δὲ ὑπὸ τῆς

μέθης τὴν ψυχὴν κατεχόμενοι, καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπληρώσαντες, πάντα σχεδὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀτίμους συμπλοκὰς συνελαύνονται. Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι σώφρονα. ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ παρακούει ὡς ὁ μεθύων· οὐχὶ ἀγνοεῖ μὲν τοὺς οἰκειοτάτους, προστρέχει δὲ τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; οὐ τὰς σκιὰς διαπηδῶσιν οἱ τοιοῦτοι πολλάκις, ὡς ὀχετοὺς ἢ φάραγγας; ἤχων δὲ αὐτοῖς καὶ ψόφων τὰ ὦτα πεπλήρωται, οἱονεὶ θαλάσσης κυμαινούσης· ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ, καὶ τὰ ὄρη περιτρέχειν κύκλῳ· τούτοις ὕπνοι μὲν βαρεῖς, καὶ δυσδιάφοροι, καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες· αἱ δὲ ἐγρηγόρσεις, τῶν ὕπνων ἀναισθητότεραι· ἐνύπνιον γὰρ αὐτοῖς ἐστὶν ὁ βίος· οἵ γε ἱμάτιον οὐκ ἔχοντες,

ἤδη ὅτι φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι, καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ, καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσι. Τί ποιεῖς ἄνθρωπε, οἰκέτης δραπετεύει δεσπότην τύπτοντα· σὺ δὲ καὶ παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτοντι; μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος. ἐὰν δὲ ἔξω τῶν ὅρων γένῃ, αὔριον ἥξεις καρηβαρῶν, χασμώμενος, σκοτοδινιῶν, οἴνου ἀπόζων, πάντα σοι περιφέρεσθαι, πάντα δονεῖσθαι δόξει. ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς αἰθάλης, ἣν ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδύναις ἀφορήτοις ἡ κεφαλή, μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλοτε ἐπ' ἄλλα καταπίπτει, τοῖς σπονδύλοις ἐνολισθαίνουσα. Ἡ δὲ περὶ τὰς ἡδονὰς ἀκρασία, ἥτις πικρῶς ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος, πᾶσαν βο-

σχημάτων μιμίαν ἐπὶ τῷ θήλει, διὰ τέρας τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα· διότι τὰ μὲν ἄλογα γνωρίζει τοὺς ὅρους τῆς φύσεως, οἱ δὲ μεθύοντες, ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητοῦσιν.

Οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλῖδος κατεστιγμένοι· ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται, οὐ μόνον τῇ ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρούντων ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαρρέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες, καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες.

Τούτων πελιδνοὶ μὲν οἱ ὀφθαλμοί, ὕπωχρος δὲ ἡ ἐπιφάνεια, πνεῦμα προσεστηκός, γλῶσσα παρειμένη, καὶ κραυγὴ ἄσημος, ἀκροσφαλεῖς οἱ πόδες, καθάπερ ἡ τῶν παίδων· ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι, ὥσπερ ἀπὸ ἀσκῶν ῥέουσαι, ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πε-

λέγει χειμαζομένων, οἷς ἅμα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα, ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος.

Ὥσπερ γὰρ τὰ χειμαζόμενα πλοῖα, ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρτου κουφίζεται, οὕτω καὶ τούτοις ἀναγκαῖαι τῶν βαρυνόντων αἱ ἀποθέσεις, ἐμοῦντες καὶ ἀποβλύζοντες, μόλις ἐλευθεροῦνται τοῦ βάρους, τοσούτῳ τῶν δυσπλοούντων ἐλεεινότεροι, ὅσον, οἱ μὲν ἀνέμους, καὶ θάλασσαν, καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται· οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. Καὶ οἱ μὲν δαιμονῶντες, ἐλεεινοί· οἱ δὲ μεθύοντες τὰ αὐτὰ πάσχοντες, οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιοι, αὐθαιρέτῳ δαίμονι προσπαλαίοντες, οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τοῦ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τοῦ μὴ διαλιπεῖν μεθύοντες μηχανώμενοι. καὶ τέλος οὐκ ἔτι τοῦ κακοῦ· αὐτὸς γὰρ ἑαυτὸν ὁ

εἶνος ἐπὶ τὸ πλεῖον περισσάγει. οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ' ἑτέραν ποτοῦ χρείαν ἀπαραίτητον ἐμποιεῖ, ἐκκαίων τοὺς μεθύοντας, καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προσκαλούμενος. Καὶ ὥσπερ αἱ χαράδραι, ἕως μὲν αὐταῖς ἐπιῤῥέωσιν οἱ χείμαῤῥοι, πλήρεις εἶναι δοκοῦσι, παρελθούσης δὲ τῆς πλημμύρας, ξηραὶ καταλείπονται· οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα, ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρές ἐστί πως καὶ διϋγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται. Πάντη οὖν ἀπέχεσθαι δεῖ τῆς ἐμποιούσης θόλωσιν τῷ ἡγεμονικῷ. ἐπειδὰν γὰρ πολὺς εἰσπέσῃ ὁ ἄκρατος, οἷά τις τύραννος ἐπὶ τὴν ἀκρόπολιν ἀναδραμὼν, ἀπὸ τῆς ἄκρας κορυφῆς ἀσιγήτους θορύβους ἐμποιεῖ τῇ ψυχῇ, οὐδενὸς παρανόμου φειδόμενος ἐπιτάγματος, ἀλλ' αὐτὸν δουλωσάμενος πρῶτον τὸν λογισμὸν, πᾶσαν, τήν τε ἐκ παιδεύσεως

ἐν ὑπὲρ χρυσὸν διακόσμησιν, συγχεῖ καὶ καταράσσει, γέλωτας ἀπρεπεῖς, φωνὴν θορυβώδη, ὀργὰς προπετεῖς, ἐπιθυμίας ἀχαλινώτους, οἶστρον καὶ μανίαν ἐπὶ πᾶσαν παράνομον ἡδονήν. Διὰ τοῦτο μὴ πινέτωσαν, φησὶν, οἱ δυνάσται οἶνον, εἴτε οἱ ἀρχήν τινα πεπιστευμένοι τῶν δημοσίων πραγμάτων οἰκονομίαν· εἴτε οἱ διὰ τὴν ἀκμὴν τῆς ἡλικίας ἐν δυνάμει ὄντες σωματικῇ. οἱ γὰρ τοιοῦτοι, φύσει τυγχάνοντες πρὸς τὰς ὁρμὰς εὐερέθιστοι, ἐπειδὰν τὸ ἐκ τοῦ οἴνου προσλάβωσιν ἔξαλμα, οἷόν τινα φλόγα ἀφθόνῳ χορηγίᾳ τῆς καιομένης ὕλης, ἐπὶ τὸ μέγα ἐξαίρουσιν. ὥσπερ γὰρ τὰ πλοῖα καταβαρυνόμενα τῷ φόρτῳ δυσάγωγά ἐστι καὶ εὔκολα πρὸς ναυάγιον, οὕτω τὰ σώματα ὅσα πολλῇ καὶ δαψιλεῖ τῇ τρυφῇ εἰς πολυσαρκίαν καταπεφόρτισται διὰ φιληδονίαν, τῷ βυθῷ τῆς ἀπωλείας ἐπινηχόμενα φέρεται. Τί τὴν κατάραν τοῦ Καὶν ἐφ' ἑαυ-

τὸν ἐπισπάσαι, μεθύων, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου. οὐ γὰρ ἔχον τὸ σῶμα τὸν ἐκ τῆς φύσεως στηριγμὸν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται. μέχρι τίνος ἡ μέθη· κινδυνεύει λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου· οὕτως ὅλως ἀναμέμικται τῷ οἴνῳ καὶ συγκατεσάπη αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης, οἴνου ἀπόζων καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. Εἰ μέθυσοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν, σὺ δὲ μεθύων ἔρχῃ ἐπὶ τὴν νηστείαν, τί σοι τὸ ὄφελος. εἰ γὰρ ἀποκλείει σε τῆς βασιλείας ἡ μέθη, ποῦ σοι λοιπὸν χρήσιμον τὸ νηστεύειν. οὐχ ὁρᾷς καὶ τῶν ἵππων τοὺς ἀγωνιστὰς, πῶς οἱ ἐμπειρότατοι πωλοδάμναι, τῆς ἀγωνίας προσδοκωμένης, διὰ τῆς ἐνδείας προσυπερεπίζουσι; σὺ δὲ ἐξεπίτηδες σεαυτὸν καταπιέζεις τῷ κόρῳ. βαρουμένη γὰρ ἡ γαστὴρ, οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπι-

τηδεία· διότι καταθλιβομένη τῷ ἄχθει, οὐδὲ ἠρεμεῖν συγχωρεῖται, ἀλλὰ ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ᾽ ἑκάτερα. Μὴ τοίνυν μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. Οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς νηστείαν, οὐδὲ διὰ πλεονεξίας εἰς δικαιοσύνην, οὐδὲ δι᾽ ἀκολασίας εἰς σωφροσύνην, οὐδὲ συλλήβδην εἰπεῖν, διὰ τῆς κακίας εἰς ἀρετήν. μέθη εἰς ἀκολασίαν ἄγει, ἐπὶ νηστείαν ἡ αὐτάρκεια. ὁ ἀθλῶν προγυμνάζεται, ὁ νηστεύων προεγκρατεύεται. μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μὴ ὡς κατασοφιζόμενος τὸν νομοθέτην, τὴν πέντε ἡμερῶν τὴν κραιπάλην προαποτίθεσο. καὶ γὰρ ἀνόητα ποιεῖς, ὃ μὲν σῶμα συντρίβων, μὴ παραμυθούμενος δὲ τὴν ἔνδειαν. Μέθη κύριον οὐχ ὑποδέχεται, πνεῦμα ἅγιον ἀποδιώκει. καπνὸς μὲν γὰρ φυγαδεύει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραι-

πάλη. Ἵνα δὲ μὴ τοῦτο πάθοιμεν, φύγωμεν τὴν ἀχάριστον θεραπείαν γαστέρα, ὅπως τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμὴ, κράτος, καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. ιζ.

ΠΕΡΙ ΟΡΓΗΣ ΚΑΙ ΕΧΘΡΑΣ.



ΕΓΙΣΤΟΝ κατηγόρημα χριστιανοῦ, πρόχειρον εἶναι πρὸς ἄμυναν, καὶ πάντα τρόπον ἐπινοεῖν κατὰ τῶν λελυπηκότων τὴν ὁμοίαν ἀντίδοσιν. πῶς γὰρ διδάξει ἑτέρους μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι, ὁ πάντα ποιῶν εἰς τὸ ἀμύνασθαι καὶ ἀντιλυπῆσαι τὸν βλάψαντα, μὴ μιμούμενος τὴν πρᾳότητα τοῦ Δαβὶδ λέγοντος, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Διὸ δεῖ τὸ μανικὸν καὶ ἔμπληκτον κίνημα τῆς ψυχῆς καταστέλλειν τῇ μνήμῃ τῶν μακαρίων τούτου ὑποδειγμάτων, πῶς πράως συνείχετο τῆς παροινίας τοῦ Σεμεεί,

οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι, πρὸς τὸν θεὸν μεταφέρων τὴν ἔννοιαν, ὅτι κύριος, φησὶν, εἶπε τῷ Σεμεεὶ καταρᾶσθαι τὸν Δαβίδ. διόπερ ἀκούων, ἀνὴρ αἱμάτων καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπηνεν, ἀλλ᾽ ἑαυτὸν ἐταπείνωσεν, ὡς κατὰ τὴν ἀξίαν αὐτοῦ τῆς ὕβρεως ἀπαντώσης. Πᾶς γὰρ ἔλεγχος, ἐναργῶς καθαπτόμενος τοῦ ἐλεγχομένου, ἰσχυρῶς αὐτὸν βασανίζει, περιιστὰς τὸ αἶσχος τοῦ ἁμαρτήματος· ὥστε μεγάλα εὐεργετεῖν τὸν ἀναισθητοῦντα τῶν ἰδίων πλημμελημάτων, εἰς συναίσθησιν ἄγων, καὶ μεταμέλειαν ἀληθινήν. ποῖον γὰρ τραῦμα σωματικὸν οὕτω δριμεῖαν ἐμποιεῖ τὴν ὀδύνην, ὁποίαν βάσανον ἐμποιεῖ τῇ ψυχῇ λόγος καταπληκτικὸς καθικνούμενος τοῦ συνειδότος τῶν ἐνεχομένων τῇ αἰσχύνῃ τῶν κακῶς πεπραγμένων. Οὐχ οὕτω σώματος χαρακτὴρ ἴδιός τινος ἐνομίσθη, ὡς τῆς φιλοθέου ψυχῆς τὸ εἰρηνικόν τε καὶ ἥμερον. πρέ-

που δ᾽ ἂν τῷ τοιούτῳ, τοὺς ἄλλους ἕλκειν
πρὸς ἑαυτὸν, καὶ παρέχειν πᾶσι τοῖς ἐγγίζου-
σιν ὥσπερ μύρον τινὸς εὐωδίας· τῆς τοῦ τρό-
που χρηστότητος ἀναπίμπλασθαι, αὐτὸν τοῖς
ἄλλοις καθηγεῖσθαι ἐπὶ τὰ βέλτιστα, ἀλλ᾽ οὐ-
χὶ ἀκολουθεῖν ἑτέροις ἐφ᾽ ἃ μὴ δεῖ· καὶ ὃ
μὲν φιλονεικεῖ ἑτέροις παραχωρεῖν, μᾶλλον
δὲ κἀκείνων ἐξελεῖν τῆς ψυχῆς, εἴπερ οἷόν
τε· αὐτὸν δὲ δι᾽ ἀνεξικακίας λύειν τὰ λυπη-
ρά· τὸ μὲν γὰρ ἀμύνεσθαι, παντὸς ἐστὶ τοῦ ὀρ-
γιζομένου· τὸ δὲ καὶ αὐτῆς τῆς ὀργῆς ὑψη-
λότερον, τούτου ἑνός που μόνου, καὶ εἴ τις αὐτῷ
τὴν ἀρετὴν παραπλήσιος. Οἷον γὰρ
θέαμα, πῶς σεμνὸν, καὶ θαυμαστὸν, καὶ μικροῦ
τὴν φύσιν ἐκβαῖνον τὴν ἀνθρωπίνην, ἄν-
θρωπον πολλὰ λοιδορηθέντα, καί που καὶ
πληγὴν δεξάμενον ἐπὶ κόρρης, καὶ ἄλλα μυ-
ρία παθόντα, καὶ λόγῳ, καὶ ἔργῳ πρὸς τὴν
ἐσχάτην ἀτιμίαν φερόντων, μὴ ὑπερζέ-
σαι θυμῷ, μηδὲ διαναστῆναι πρὸς ἄμυ

νδην, ἀλλὰ πράως καὶ ἀοργήτως προσεύξασθαι ὑπὲρ τοῦ ὑβριστοῦ· ὥστε καὶ τὴν ἐπὶ τοῖς φθάσασιν αὐτῷ ἁμαρτίαις συγχωρηθῆναι, καὶ πρὸς τὸ ἑξῆς τῆς πρεπούσης παρὰ θεοῦ ἐπιμελείας ἀξιωθῆναι. νῦν δὲ ἡμεῖς μετὰ τῶν ἄλλων κακῶν καὶ τούτῳ μάλιστα ἁμαρτάνομεν, διώκοντες ἀνταπόδομα, οὐδὲ ἴσον τῷ μέτρῳ ἀντιδιδόντες, ἀλλὰ μεθ' ὑπερβολῆς ἀμυνόμενοι, οὐκ ἐὰν ὑβρισθῶμεν μόνον, ἀλλ' αὖ μὴ καὶ τιμηθῶμεν προξενούμενοι, καὶ τοὺς ἔλαττον ἡμᾶς τιμῶντας, ὧν ἀξίους αὐτοὺς ὑπειλήφαμεν, ὡς ἐχθροὺς λογιζόμενοι. Ὕβρισέ σε ὁ δεῖνα; στῆσον τῇ σιωπῇ τὸ κακὸν, καὶ μὴ ὥσπερ ῥεῦμα τὴν ἐκείνου ὀργὴν εἰς τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τοὺς ἀνέμους μιμῇ, διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. ἐκεῖνος ἐλοιδόρησε; σὺ εὐλόγησον. ἐτύπησεν ἐκεῖνος; σὺ ὑπόμεινον. διαπτύει, καὶ τὸ μηδὲν ἡγεῖταί σε; σὺ ἔννοιαν λα-

βε σεαυτοῦ, ὅτι ἐκ γῆς ὑπέστης, καὶ εἰς γῆν
πάλιν ἀναλυθήσῃ· ἀφανῆ σε εἶπε, καὶ ἄδο-
ξον, καὶ μηδένα μηδαμόθεν; σὺ δὲ γῆν εἰπὲ
καὶ σποδὸν σεαυτόν· οὐκ εἶ σεμνότερος τοῦ
πατρὸς ἡμῶν Ἀβραάμ, ὃς ταῦτα ἑαυτὸν
ἀπεκάλει. ἀμαθῆ καὶ πτωχόν; σὺ δὲ σκώλη-
κα σεαυτὸν εἰπὲ, καὶ ἀπὸ κοπρίας ἔχειν τὴν
γέννησιν, τὰ τοῦ Δαβὶδ λέγων ῥήματα· τού-
τοις πρόσθες καὶ τὸ τοῦ Μωσέως καλόν· ἐκεῖ-
νος ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθεὶς, οὐ
κατ' αὐτῶν ἐνέτυχε τῷ θεῷ, ἀλλὰ προσηύ-
χετο ὑπὲρ αὐτῶν. Καὶ σὺ τοίνυν, ἐὰν πέ-
νητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κα-
ταδέξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, οὐ
πρὸς σὲ τὸ λεγόμενον. μήτε πρὸς ἐπαίνους
χαυνωθῇς τοὺς ὑπὲρ τὴν ἀλήθειαν, μήτε
πρὸς ὕβρεις ἀγριάνῃς τὰς οὐχ ἁπτομένας
σου. οὐχ ὁρᾷς τὰ τοξεύματα, πῶς τῶν μὲν
στερρῶν καὶ ἀντιτύπων πέφυκε διαπίπτειν,
ἐν δὲ τοῖς ἁπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρ-

μὴν ὑπεκλύῃ; Τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ πένητος· μνήσθητι τῆς φύσεως σεαυτοῦ, ὅτι γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες, γυμνὸς καὶ ἀπελεύσῃ· τί δὲ γυμνοῦ πενιχρότερον. οὐδὲν ἤκουσας δεινόν· τίς ποτε ἀπήχθη διὰ πενίαν εἰς δεσμωτήριον· οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. τί ὀργῆς ἀφρονέστερον· ἐὰν μείνῃς ἀόργητος, ἤμυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.

Ὡς γὰρ τύπτων τὸν μὴ ἀλγοῦντα, ἑαυτὸν τιμωρεῖται· οὔτε γὰρ τὸν ἐχθρὸν ἠμύνατο, καὶ τὸν θυμὸν οὐκ ἀνέπαυσεν· οὕτως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων, παραμυθίαν εὑρεῖν τοῦ πάθους οὐ δύναται· ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καὶ ἀπολογήσῃ· ὅτι παρώξυνε κατάρξας; καὶ ποίας τοῦτο συγγνώμης ἄξιον. οὐδὲ γὰρ ὁ πόρνος ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς, ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς

καταχρίσεως ἀξιοῦται. Πονηρὸν ἡ ὕβρις; φεῦγε τὴν μίμησιν. οὐ γὰρ δὴ τὸ ἑτέρου κατάρξαι, ἱκανὸν εἰς παραίτησιν. δικαιότερον μὲν οὖν, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιτεῖναι τὴν ἀγανάκτησιν. διότι μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δὲ βλέπων ἀσχημονοῦντα τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν, ἀλλ᾽ ἀγανακτεῖς καὶ χαλεπαίνεις, καὶ ἀνταγωνίζῃ; καὶ γίνεταί σου τὸ πάθος ἀπολογία τοῦ προλαβόντος; εἰ μὲν πονηρὸς ὁ θυμός, τί οὐκ ἐξέκλινας τὸ κακόν· εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ. Ἔοικε γάρ πως συνεξομοιοῦσθαι τῷ ματαιολογοῦντι ὁ ἀντιλέγων. διόπερ, οἶμαι, ὁ σοφὸς παραινεῖ Σολομών, μὴ ἀποκρίνασθαι τῷ ἄφρονι κατὰ τὴν ἐκείνου ἀφροσύνην. ὥσπερ γὰρ ὁ βασιλικὴν εἰκόνα καθυβρίσας, ὡς εἰς αὐτὸν ἐξαμαρτήσας τὸν βασιλέα κρίνεται· οὕτω δηλονότι ὑπόδικός ἐστι τῇ ἁμαρτίᾳ, ὁ τὸν κατ᾽ εἰκόνα

θεοῦ γεγεννημένον καθυβρίζων. Ἀνδρὶ θυμώδει μὴ συναυλίζου, φησί. κακὸν γὰρ πρᾶγμα κοινὴ συνδεδέσθαι, καὶ διηνεκοῦς ὑλακῆς ἀπολαύειν· φεῦγε τοίνυν τὰς μετ' αὐτοῦ διατριβάς· διδάσκη γάρ σε μαθεῖν τὴν ἐκείνου ὁδῶν. εἶπεν ὑβριστικὸν, ἐκίνησε καὶ τὸν ἐν σοὶ θυμόν. ὥσπερ κυνὸς ὑλακὴ παρακαλεῖται ἑτέρου κυνὸς θόρυβον, καὶ τὸν ἐν σοὶ θυμὸν τέως κοιμώμενον καὶ ἡσυχάζοντα ἡ ἐκείνου φωνὴ διήγειρε, καὶ γεγόνασιν ἀλλήλοις ἀντυλακτοῦντες· εἶτα ἀντικαταστάντες ἀλλήλοις ὥσπερ σφενδόνας, ἀφίετε τῶν ῥημάτων τὰς ἀσχημοσύνας. εἶπέ τι ὑβριστικὸν ἐκεῖνος, ἀντέδωκας σὺ μείζονι ὑπερβολῇ τὸν παραλαβόντα μιμούμενος· λαβὼν ἐκεῖνος τὴν ἐκ τοῦ λόγου τοῦ ὑβριστοῦ ἀντίδοσιν, οὐκ ἔστη τῆς ὁρμῆς, ἀλλ' ἐστράφη, καὶ ἐκορύφωσε τὴν ἑαυτοῦ ἀνδρίαν· μείζων ἠβουλήθη γενέσθαι ἐκ τοῦ εἰπεῖν τὸ χαλεπώτερον, σὺ δεξάμενος πάλιν ὑπερυψώθης, καὶ

γέγονε κακῶν φιλονεικία· ὁ δὲ ἐν κακῶν ἁμίλλαις νικῶν, ἐστὶν ἀθλιώτερός ἐστιν.

Ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενοι τοὺς λογισμοὺς τὸ τοῦ θυμοῦ πάθος, καὶ τὴν δυναστείαν τῆς ψυχῆς παραλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ. ὥσπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμός. λυττῶσιν ὥσπερ οἱ κύνες, ἄττουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. ἀγνοοῦσι μὲν γὰρ αὐτοὺς πρῶτον οἱ ὀργιζόμενοι, ἔπειτα καὶ πάντας ὁμοίως τοὺς ἐπιτηδείους. διὰ θυμὸν καὶ ξίφος ἀκονᾶται, καὶ θάνατος ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. διὰ τοῦτον, ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν, γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο, καὶ ὥσπερ αἱ χαράδραι πρὸς τὰ κοῖλα συῤῥέουσαι τὸ προστυχὸν παρασύρουσιν, οὕτως καὶ αἱ τῶν ὀργιζομένων ὁρμαὶ, βίαιοι καὶ ἀκάθεκτοι διὰ πάντων ὁμοίως

χωροῦσιν. οἱονεὶ γὰρ οἴστρῳ τῇ μνήμῃ τῶν λελυπηκότων παρακεντούμενοι, σφαδάζοντος αὐτοῖς τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι. Ὅταν γὰρ ὥσπερ φλὸξ ὕλης ἀφθονίᾳ, τοῖς παροξύνουσιν ὁ θυμὸς ἐξαφθῇ, τότε δὴ τότε, τὰ οὔτε λόγῳ ῥητὰ, οὔτε ἔργῳ φορητὰ, ἐπιδεῖν ἔστι θεάματα, χεῖρας μὲν διηρμένας κατὰ τῶν ὁμοφύλων, πόδας δὲ ἀφειδῶς ἐναλλομένους, πᾶν δὲ τὸ φανὲν, ὅπλον τῇ μανίᾳ γινόμενον· ἐὰν δὲ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἴσον κακὸν ἀντιστρατευόμενον εὕρωσιν, ὀργὴν ἄλλην καὶ μανίαν ὁμότιμον, οὕτω δὴ συμπεσόντες, ἔδρασαν ἀλλήλοις καὶ ἔπαθον, ὅσα εἰκὸς τοὺς ὑπὸ τοιούτῳ δαίμονι στρατηγουμένους παθεῖν. αἱ γὰρ πρὸς ἀλλήλους λῦπαι, καὶ μικροψυχίαι, παρὰ μὲν τὴν πρώτην μικραί εἰσι καὶ εὐθεράπευτοι· προϊόντος δὲ τοῦ χρόνου, ὑπὸ φιλονεικίας αὐξόμεναι, εἰς ἀνίατον πάντη.

λῶς ἐκπίπτειν πεφύκασιν. ἕως γὰρ ἐκ τῆς διαστάσεως αἱ διαβολαὶ χώραν ἔχωσιν, ἀνάγκη ἀεὶ τὰς ὑποψίας ἐπὶ τὸ χεῖρον αὔξεσθαι. Αν τίνιον ἴδῃς τὸν θυμούμενον τοὺς ὀδόντας παραθήγοντα, ἐνθυμήθητι ὅτι σοὶ ἔοικεν ὁ τοιοῦτος, τὸν ἔνδοθεν θυμὸν διὰ τῶν ὀδόντων παραπείνως ὑπεκφαίνων.

Εν γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλέον ἔχων τῆς ἁμαρτίας. Ο θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως. τί γὰρ τὸν Φινεὲς ἐδικαίωσεν. οὐχ ἡ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων; ὃς τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβρῆ καὶ τῆς μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γινομένην, οὐ συγκαλυπτόντων αὐτῶν τὴν ἀσχήμονα θέαν τῆς αἰσχύνης, οὐκ ἀναμένων, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι᾽ ἀμφοῖν ἐλάσας τὸν σειρομάστην. Ηλίας δὲ ζηλωτὴς, πεντήκοντα καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῆς αἰσχύνης, &

τετρακοσίους ἄνδρας ἱερεῖς τῶν ἄλσεων, ἐσθίοντας τράπεζαν Ιεζάβελ, λελογισμένῳ θυμῷ καὶ σώφρονι, εἰς ὄφελος παντὸς τοῦ Ισραὴλ, ἐθανάτωσεν· οὕτω γίνεται πολλάκις ὁ θυμὸς, ἀγαθῶν πράξεων ὑπηρέτης.

Ηδιον γοῦν ἄν τις ἴδοι ὀργιζόμενον τὸν ἀγαπώμενον, ἢ θεραπεύοντα ἕτερον.

Τούτοις καὶ ἡμεῖς ζηλῶσαι σπουδάσωμεν, καὶ μὴ καθ' ἡμῶν, ἀλλὰ κατὰ τοῦ διαβόλου τὸν θυμὸν ὁπλίζωμεν μόνον, εἴ γε τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν βουλοίμεθα, ἐν Χριστῷ Ιησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΚ ΤΩΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. ιη.

ΠΕΡΙ ΦΘΟΝΟΥ ΚΑΙ ΒΑΣΚΑΝΙΑΣ.

ΠΟΛΛΗΝ ἡμῖν ἐμποιεῖ τὴν αἰτίαν, τοῦ κατέχοντος καιροῦ τούτου ἡ χαλεπότης, ἐν ᾧ πᾶσαι μὲν ἐκκλησίαι ἐσαλεύθησαν, πᾶσαι δὲ ψυχαὶ σινιάζονται. ἤνοιξαν γὰρ πάντες ἀφειδῶς τὰ στόματα κατὰ τῶν ὁμοδούλων· λαλεῖται δὲ ψεῦδος ἀφόβως, καὶ ἀλήθεια συγκεκάλυπται· καὶ οἱ μὲν κατηγορούμενοι καταδικάζονται ἀκρίτως, οἱ δὲ κατηγοροῦντες πιστεύονται ἀνεξετάστως· καὶ πολὺς ἤδη ὁ χρόνος παρῴχηκεν, ἐν ᾧ τυπτόμενοι ὑπὸ τῶν διαβολῶν, φέρομεν τὰς τῆς κατηγορίας μάστιγας, ἀρκούμενοι ὅτι ἔχομεν κύριον τὸν τῶν κρυπτῶν γνώστην, μάρτυρα τῆς συκοφαντίας. ἐπειδὴ δὲ πολλοὶ ἤδη

τὴν σιωπὴν ἡμῶν εἰς βεβαίωσιν τῶν διαβολῶν προσεδέξατο, καὶ οὐ διὰ μακροθυμίαν ἐνόμισεν ἡμᾶς σιωπᾶν, ἀλλὰ διὰ τὸ μὴ ἔχειν διᾶραι στόμα πρὸς τὴν ἀλήθειαν, τούτου ἕνεκεν παρακαλῶ τὴν ἐν Χριστῷ ἀγάπην ὑμῶν, ὥστε τὰς ἐξ ἑνὸς μέρους γινομένας διαβολὰς μὴ πάντως παραδέχεσθαι ὡς ἀληθεῖς, διότι, καθὼς γέγραπται, οὐδένα κρίνει ὁ νόμος, ἐὰν μὴ πρῶτον ἀκούσῃ καὶ γνῷ τί ποιεῖ. Πρὸς δὲ τὰ προβαλλόμενα ἐγκλήματα, ἀπαιτεῖτε ἡμᾶς τὰς εὐθύνας. καὶ εἰ μὲν εὕρητε παρ' ἡμῖν τὴν ἀλήθειαν, μὴ δῶτε χώραν τῷ ψεύδει· ἐὰν δὲ ἀπονούντων ὑμῶν πρὸς τὴν ἀπολογίαν ἀτονῶμεν, τότε πιστεύσατε τοῖς κατηγόροις ἡμῶν ὡς ἀληθεύουσι. τὰ γὰρ σώματα αὐτῶν ἐπιχειρήσωσι διὰ τῶν ἡμετέρων λόγων ἀμήχανον. Μᾶλλον μὲν οὖν εἰκός ἐστιν ἐρεθίζεσθαι αὐτοὺς ἐπὶ ταῖς ἀπολογίαις ὑμῶν, καὶ μείζονα καὶ χαλεπώτερα καθ' ὑ-

μὲν κατασκευάζειν, καὶ στηλιτεύειν, καὶ κατηγορεῖν. καίτοι εὐγνώμονι κριτῇ ἀρκεῖ αὐτὰ τὰ πράγματα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν, καὶ, κἂν ἡμεῖς σιωπήσωμεν, ἔξεστιν ὑμῖν διαβλέψαι πρὸς τὰ γινόμενα.

Αἰτοῦμαι δὲ περὶ πάντων ὑμᾶς, τούς τε νῦν ἀκουσομένους, καὶ τοὺς εἰς ὕστερον ἐντευξομένους, μὴ τῷ πλήθει διακρίνειν ἐθέλειν τῆς ἀληθείας τὸ ψεῦδος, τῇ πλείονι μοίρᾳ τὸ χρηστὸν συνάψαντας· μήτε μὴν ἀξιώμασι προσέχοντας, ἀμαυροῦσθαι τὴν διάνοιαν, ἢ τῇ τάξει τῶν προλαβόντων τὸ πλέον νέμοντας, ἀποφράττειν τὰς ἀκοὰς τοῖς ὑστέροις. Δεῖ γὰρ τὸν ἀκροατὴν τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν φυλάσσειν τῷ μὴ παρόντι, τὸ τοῦ Ἀλεξάνδρου ποιοῦντα. καὶ γὰρ ἐκεῖνόν φασι, διαβαλλομένου τινὸς τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν δοῦναι τῷ διαβάλλοντι, τὴν δ᾽ ἑτέραν ἐπιμελῶς ἐπιφράξασθαι τῇ χειρί, ἐνδεικνύ-

μένον, ὅτι δέοι τὸν ὀρθῶς κρίνειν μέλλοντα, μὴ ὅλον εὐθὺς τοῖς προλαβοῦσιν ἀπάγεσθαι, ἀλλὰ τὸ ἥμισυ τῆς ἀκροάσεως, ἀκέραιον διασώζειν πρὸς ἀπολογίαν τῷ μὴ παρόντι. Καὶ γὰρ πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀπελεύθεροι αὗται παραφύεσθαι θεραπεῖαι, οἱ διὰ τὸ ἀπορεῖν οἰκείου ἀγαθοῦ δι᾽ οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρείων κακῶν ἑαυτοὺς συνιστῶσι. Καὶ ὥσπερ οἱ γῦπες πρὸς τὰ δυσώδη φέρονται, πολλοὺς μὲν λειμῶνας, πολλοὺς δὲ ἡδεῖς καὶ εὐώδεις τόπους ὑπερπτάμενοι· καὶ αἱ μυῖαι, τὸ μὲν ὑγιαῖνον παρατρέχουσι, πρὸς δὲ τὸ ἕλκος ἐπείγονται· οὕτως καὶ οἱ βάσκανοι, τὰς μὲν τοῦ βίου λαμπρότητας καὶ τὰ μεγέθη τῶν κατορθουμένων οὐδὲ προσβλέπουσι, τοῖς δὲ σαθροῖς ἐπιτίθενται. Τοὺς οὖν ὀρθὰ φρονοῦντας, ὃ τοῦ Ἀλεξάνδρου ποιεῖν προσήκει, ὃς ἐπιστολὴν κατὰ τοῦ ἰατροῦ δεξάμενος ὡς ἐπιβουλεύοντος, ἐπειδὴ ἔτυ-

χεῖν ἐν αὐτῷ τῷ καιρῷ φάρμακον λαβὼν ὥστε πιεῖν, τοσοῦτον ἀπέχε πιστεῦσαι τῷ διαβάλλοντι, ὡς ὁμοῦ τε τὴν ἐπιστολὴν ἀνεγίνωσκε, καὶ τὸ φάρμακον ἔπινεν. Οἱ τοίνυν τῶν πλησίον καταχέοντες λοιδορίας, τὸν δὲ τῶν λεγομένων ἔλεγχον μὴ ἐπάγοντες, φανήσονται πάντως πονηρὰν ἑαυτοῖς προσηγορίαν ἐπενεγκόντες ἐκ τῆς ἀτόπου τῶν λόγων χρήσεως. τὸν γὰρ διαβάλλοντα πῶς ἄλλως προσήκει ὀνομάζειν, ἢ οὐχὶ τὴν ἐξ αὐτοῦ τοῦ πράγματος ἐπιτηδείαν προσηγορίαν ἑαυτῷ τιθέμενος. Μήτε οὖν ὁ λοιδορῶν διάβολος ἔστω, ἀλλ' ἀδελφὸς ἐν ἀγάπῃ νουθετῶν, καὶ ἐπὶ διορθώσει ἐπάγων τὸν ἔλεγχον· μήτε ὑμεῖς λοιδοριῶν γίνεσθε ἀκροαταί, ἀλλ' ἐλέγχων δοκιμασταί· μήτε οἱ λοιδορούμενοι ἀνιάτρευτοι καταλειφθῶσι, μὴ φανερουμένης τῆς ἁμαρτίας αὐτῶν· ἐλεγχθέντες μὲν γάρ, καὶ αὐτοὶ τὴν ἁμαρτίαν αὐτῶν ἐπιγνώσονται· καὶ ὑμεῖς μετ'

ἐλέγχοις συγγνώμην ἕξετε παρὰ τοῦ κυρίου, ἐκ τῆς τῶν ἁμαρτωλῶν κοινωνίας ἑαυτοὺς ἀποστέλλοντες· καὶ οἱ ἐλέγξαντες μισθὸν ἕξουσιν, ὡς τὴν κεκρυμμένην κακίαν δημοσιεύσαντες· ἐὰν δὲ περὶ τὸν ἔλεγχον καταδικάζητε, αὐτοὶ μὲν οὐδὲν ἔσονται ἠδικημένοι, ἐκτὸς τοῦ ζημιωθῆναι τὸ πάντων ἡμῖν τιμιώτατον κτῆμα, τὴν πρὸς ὑμᾶς ἀγάπην· ὑμεῖς δέ, καὶ τούτῳ αὐτῷ πείσεσθαι αὐτοὺς οὐκ ἔχοντες, καὶ τῷ εὐαγγελίῳ δόξετε μάχεσθαι τῷ εἰπόντι, μὴ ὁ νόμος ὑμῶν κρίνη τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ; Μὴ ταῦτα, ἀδελφοὶ τιμιώτατοι, μὴ ἀνάσχησθε τούτων, μηδὲ παραλογίσασθε ἡμῖν τὴν παράκλησιν ταύτην, ἵνα μὴ φθάσῃ εἰς ἡμᾶς ἡ φοβερὰ τοῦ κυρίου ἡμῶν προφητεία εἰπόντος, ὅτι διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. ὥσπερ γὰρ ἡ ἐρυσίβη, ἴδιόν ἐστι τοῦ σί-

του νόσημα· οὕτως ὁ φθόνος, φιλίας ἐστὶν ἀρρώστημα· καὶ ὥσπερ ἕπεται τῷ ἀγαθῷ τὸ μὴ φθονεῖν, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία· καὶ ὥσπερ ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ἐξαναλίσκει· μᾶλλον δὲ, ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν κυήσασαν αὐτὰς γαστέρα διεσθιούσας ἀπογεννᾶσθαι, οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν ψυχὴν πέφυκε διαπανᾶν. Ὁ βασκαίνων, μίαν λύσιν οἶδε τῆς κακοδραστύνης, εἴπου τινὰ ἴδοι καταπεσόντα τῶν φθονουμένων· τοῦτο ὅρος οὗ μίσους, ἄθλιον ἰδεῖν ἐκ μακαρίου τὸν βασκαινόμενον, ἐλεεινὸν γενέσθαι τὸν ζηλωτόν. τότε σπένδεται καὶ φίλος ἐστὶν, ὅταν δακρύοντα ἴδῃ, ὅταν πενθοῦντα θεάσηται· καὶ εὐθυμοῦντι μὲν οὐ συνευφραίνεται, ὀδυρομένῳ δὲ συνδακρύει, καὶ τὴν μεταβολὴν τοῦ βίου ἐκ οἵων εἰς οἷα μεταπέπτωκε κατοικτίζεται, οὐχ ὑπὸ φιλανθρωπίας καὶ τοῦ συμπαθὴς εἶναι ἐξαίρων τῷ λόγῳ τὰ

πρότερον, ἀλλ' ἵνα βαρυτέραν αὐτῷ κατασκευάσηται τὴν συμφοράν. Τοιοῦτος ἦν ὁ Σαοὺλ, ὃς τὴν εὐεργεσίαν τὰς ὑπερβολὰς, ἀφορμὴν τοῦ πολέμου πρὸς τὸν Δαβὶδ ἐποιήσατο, καὶ ἐπειρᾶτο δόρατι διαπεῖραι τὸν εὐεργέτην. σωὼ αὐτῷ γὰρ τῷ στρατῷ ἐκ τῶν πολεμίων περισωθεὶς, καὶ τῆς ἐπὶ τῷ Γολιὰθ αἰσχύνης ἀπαλλαγεὶς, αὐτόχειρ γενέσθαι καὶ ἐξ ἐνέδρας ἀνελεῖν ἐπεχείρησεν· εἶτα φυγάδα καταστήσας, οὐδὲ οὕτω τὴν ἔχθραν ἔστησεν, ἀλλὰ τὸ τελευταῖον ἐκστρατεύσας ἐπ' αὐτὸν τρισχιλίοις λογάσι, τὰς ἐρημίας διηρεύνατο· ὅς γε παρ' αὐτὸν τὸν καιρὸν τῆς διώξεως καταληφθεὶς, ἕτοιμος εἰς σφαγὴν προκείμενος τῷ ἐχθρῷ, πάλιν περισωθεὶς ὑπὸ τοῦ δικαίου, ἐπαγαγεῖν αὐτῷ τὰς χεῖρας διαφυλαξαμένου, οὐδ' ὑπὸ ταύτης τῆς εὐεργεσίας ἐκάμφθη, ἀλλὰ καὶ πάλιν ἐστρατολόγει, καὶ πάλιν ἐδίωκεν, ἕως καὶ δεύτερον ἁλοὺς ὑπὸ

τοῦ αὐτοῦ ἐν τῷ σπηλαίῳ, τὴν μὲν τῆς ἀρετὴν
λαμπροτέραν ἀπέδειξεν, ἑαυτοῦ δὲ τὴν πο
νηρίαν καταφανεστέραν ἐποίησεν. Οὕτως
καὶ περὶ τὸν Ἰωσὴφ οἱ ἀδελφοὶ διατίθεν-
ται, οὐκ εἰδότες ὅ,τι πράττουσιν. εἰ μὲν γὰρ
ἀληθῆ τὰ ἐνύπνια τοῦ Ἰωσὴφ, τίς μηχανὴ
μὴ οὐχὶ πάντως ἐκβῆναι τὰ προρρηθέν-
τα· εἰ δὲ ψευδεῖς αἱ τῶν ὀνειράτων ὄψεις, ἀν-
τὶ τίνος βασκαίνουσι τῷ σφαλλομένῳ.

Ἀλλ᾽ ὄντως, ἴδιόν τι παθος ἐστὶ τοῦ δια-
βόλου ὁ φθόνος, ὁ ἰατρείαν οὐκ ἐπιδεχόμε-
νος. ὁ κεφαλαλγῶν λέγει τῷ ἰατρῷ τὴν κε
φαλαλγίαν, ὁ φθόνον νοσῶν τί εἴπῃ λυπεῖ
με τὰ τοῦ ἀδελφοῦ ἀγαθά; ἡ μὲν ἀλήθεια
αὕτη, τὰ δὲ ῥήματα ἕκαστος ἐπαισχύνεται.
τί στενάζεις· ἴδιον κακὸν, ἢ ἀλλότριον ἀγα-
θόν; ὄντως ἴδιόν ἐστι κακὸν τοῦ διαβόλου ὁ
φθόνος. Καθάπερ γὰρ τῶν βελῶν τὰ
βιαίως φερόμενα, ἐπειδὰν καρτερῷ τινὶ καὶ
ἀντιτύπῳ προσπέσῃ, ἐπὶ τὸν προέμενον

ἐπανέρχεται· οὕτω καὶ τὰ τοῦ φθόνου κινήματα, οὐδὲν λυποῦντα τὸν βασκαινόμενον, αὐτοῦ πληγαὶ γίνονται τοῦ βασκάνου. Πολλὰ μὲν γὰρ ἔνεστι τῇ βασκανίᾳ κακά· ἓν δὲ χρήσιμον, ὅτι κακόν ἐστιν αὐτῷ τῷ κεκτημένῳ, καὶ μᾶλλον δαπανᾷ τὴν καρδίαν, ἢ ὁ ἰὸς τὸν σίδηρον. ὁ γὰρ βασκαίνων, αὐτὸν μὲν τὸν βασκαινόμενον ὀλίγα βλάπτει, ἑαυτὸν δὲ δαπανᾷ τῇ λύπῃ καὶ τῷ στεναγμῷ ἐπὶ τῇ εὐημερίᾳ τοῦ πλησίον· καὶ τὸν μὲν πλοῦτον τοῦ γείτονος οὐκ ἠλάττωσεν, ἑαυτὸν δὲ τῇ βασκανίᾳ κατεδαπάνησεν. Ὥσπερ οὖν τὴν εὐκατάπρηστον ὕλην ἐπιμελὲς ἡμῖν ὅτι πορρωτάτω τοῦ πυρὸς ἀποτίθεσθαι, οὕτω χρὴ καθ᾽ ὅσον οἷόν τε, τῆς τῶν βασκάνων ὁμιλίας καὶ φιλίας ἀπάγειν, ἔξω τῶν τοῦ φθόνου βελῶν ἑαυτοὺς ποιοῦντας. Τοὺς μὲν γὰρ κύνας τρέφοντες ἡμερούμεθα, τοὺς δὲ βασκάνους εὐεργετοῦντες, χαλεπωτέρους ἀπεργαζόμεθα. οὐ γὰρ χαίρει ἐφ᾽ οἷς ἀεὶ πάθη χρη-

στοῖς, ἀλλὰ λυπεῖται τῇ ἑτέρων εὐπορίᾳ, ὅτι ἔχουσιν ὕλην ὅθεν αὐτοὶ τὴν χρείαν πληρώσουσιν. Αἱ παρδάλεις φυσικήν τινα ἔχουσι πρὸς τὸν ἄνθρωπον ὀργὴν, καὶ πεφύκασι μάλιστα τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων ἐφάλλεσθαι· οἱ δὴ καταπαίζοντες τῆς μανίας τοῦ θηρίου, ἐν χάρτῃ εἰκόνα προσδεικνύουσιν ὡς ἄνθρωπον· ἡ δὲ ὑπὸ τῆς ἄγαν ὀργῆς λογιζομένη ὡς ἄνθρωπον, σπαράσσει τὸν χάρτην, κἀκεῖ δείκνυσι τὸ μισάνθρωπον· οὕτω καὶ ὁ διάβολος, ἐν τῇ εἰκόνι τὸ μισόθεον ἔδειξεν, ἐπεὶ τοῦ θεοῦ προσάψασθαι οὐκ ἠδύνατο. Τοιγαροῦν βούλομαί σε φυγεῖν τὴν κακοῦργον τὴν μίμησιν ἄνθρωπε, καὶ ἐν ἀσθενεῖ ζώῳ πολὺ τὸ πανοῦργον καὶ ἐπίβουλον καταμαθόντα, οἷόν τι λέγω· ὁ καρκίνος τῆς σαρκὸς ἐπιθυμεῖ τοῦ ὀστρέου, ἀλλὰ δυσάλωτος ἡ ἄγρα αὐτῷ, διὰ τὴν περιβολὴν τοῦ ὀστράκου. ἀρραγεῖ γὰρ ἕρκει τὸ ἁπαλὸν τῆς σαρκὸς ἡ φύσις κατησφαλί-

ϛατο, διὸ καὶ ὀστρακόδερμον περιστηγόρευται· καὶ ἐπεὶ δύο κοιλότητες ἀκριβῶς ἀλλήλαις περισηρμοσμέναι τὸ ὄστρεον περιπτύσσονται, ἀναγκαίως ἀπρακτοί εἰσιν αἱ χηλαὶ τοῦ καρκίνου. Τί οὖν ποιεῖ· ὅταν ἴδῃ ἐν ἀπηνέμοις χωρίοις μεθ' ἡδονῆς διαθαλπόμενον, καὶ πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου τὰς πτύχας ἑαυτοῦ διαπλώσαντα, τότε δὴ λάθρα ψηφίδα παρεμβαλὼν, διακωλύει τὴν σύμπτυξιν, καὶ εὑρίσκεται τὸ ἐλλεῖπον τῆς δυνάμεως, διὰ τῆς ἐπινοίας περιγινόμενος. αὕτη ἡ κακία τῶν μήτε λόγου, μήτε φωνῆς μετεχόντων. τοιοῦτός ἐστιν ὁ πρὸς τὸν ἀδελφὸν πορευόμενος δόλῳ, καὶ ταῖς τοῦ πλησίον ἀνάγκαις ἐπιτιθέμενος, καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῶν. Ἀλλ' οὐκ ἂν παρέλθοιμι τὸ τοῦ πολύποδος δολερὸν καὶ ἐπίπλοκον, ὃς ὁποίᾳ ποτὲ ἂν ἑκάστοτε πέτρᾳ περιπλακῇ, τὴν ἐκείνης ὑπέρχεται χρόαν· ὥστε τοὺς πολλοὺς τῶν ἰχθύων ἀπρο-

ἁπλῶς ἐγχρωμένοις, τῷ πολύποδι περιπίπτειν, τῇ πέτρᾳ δῆθεν, καὶ ἕτοιμοι γίνεσθαι θήραμα τῷ πανούργῳ. Τοιοῦτοί εἰσι τὸ ἦθος, οἱ τὰς ἀεὶ κρατούσας δυναστείας ὑπερχόμενοι, καὶ πρὸς τὰς ἑκάστοτε χρείας μεθαρμοζόμενοι, μὴ ἐπὶ τῆς αὐτῆς προαιρέσεως βεβηκότες, ἀλλ' ἄλλοι καὶ ἄλλοι ῥαδίως γινόμενοι, καὶ πρὸς τὴν ἑκάστου ἀρέσκειαν τὰς γνώμας μετατιθέμενοι, οὓς οὐδὲ ῥᾴδιον ἐκκλῖναι, οὐδὲ τὴν ἀπ' αὐτῶν φυλάξασθαι βλάβην, διὰ τὸ ἐν τῷ προσχήματι τῆς φιλίας, βαθέως κατεσκευασμένην τὴν πονηρίαν κατακεκρύφθαι. Τὸ γὰρ μῖσος ἐν τῷ βάθει κατέχοντες, ἀγάπῃ δεικνύουσι κατακεχρωσμένην τὴν ἐπιφάνειαν, κατὰ τὰς ὑφάλους πέτρας, αἳ βραχεῖ ὕδατι καλυπτόμεναι, κακὸν ἀπροόρατον τοῖς ἀφυλάκτοις γίνονται. Χρὴ τοίνυν πρὸς τὰς διαβολὰς μὴ ἀποσιωπᾷν, οὐχ ἵνα διὰ τῆς ἀντιλογίας ἑαυτοὺς ἐκδικῶμεν, ἀλλ' ἵνα μὴ

συγχωρούμενον εὐοδωθῆναι τῷ ψεύδει, καὶ τοὺς ἠπατημένους μὴ ἐναφῶμεν τῇ βλάβῃ· τρισὶν γὰρ ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων. τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ αὐτὸς ἑαυτόν. Τὸ μὲν οὖν συκοφαντεῖν καὶ διαβάλλειν εἶναι ἐξ ἀκολάστου γλώττης καὶ γνώμης ἀγνώμονος, πονηρῶν καὶ φιλαπεχθημόνων ἀνθρώπων ἔργον εἰδότες· τὸ δὲ τοὺς ἐκ διαβολῆς δόξαντας εἶναι πονηροὺς πάσῃ προθυμίᾳ πειραθῆναι τὸ ψεῦδος τοῖς ἐλέγχοις ἀποτρέπειν, ἀνδρῶν σωφρόνων καὶ μετὰ τῆς ἰδίας εὐβουλίας τὴν τῶν πολλῶν ἀσφάλειαν περὶ πολλοῦ ποιουμένων· τὴν μὲν τῶν προτέρων κακίαν ἐκφύγωμεν, τῶν δὲ μὴ τοιούτων τὴν πολιτείαν ἐκζηλώσωμεν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. ιθ.

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ ΚΑΙ ΑΚΟΛΑΣΙΑΣ.



ΟΤΩΝ μακεδόνων Ἀλέξανδρος τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι λέγων, τοὺς ἄνδρας ἑλόντα γυναικῶν ἡττηθῆναι. Τουτὶ δὲ εἰς ταὐτὸν ἐκείνῳ φέρει τὸ παράγγελμα, ὅτι ὁ ἐμβλέψας πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν, ἤγουν ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικί, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλά τοι τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος.

Εἰ οὖν αἱ ἀπὸ ταὐτομάτου συντυχίαι

τοῖς περιέργως κατασκοποῦσι, τοσοῦτον ἔχουσι κίνδυνον, πόσον αἱ καὶ ἐπιτήδευσιν γινόμεναι ἀπλυτήσεις· ὥστε ἰδεῖν γυναῖκας ἀσχημονούσας καὶ καταχηματιζομένας πρὸς ἔκλυσιν, καὶ μέλη τεθρυμμένα ᾀδούσας, δυνάμενα καὶ μόνον ἀκουσθέντα, πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις.

Τί τοίνυν ἐροῦσιν, ἢ τί ἀπολογήσονται, οἱ ἐκ τοιούτων θεαμάτων μυρίον ἑσμὸν τῶν κακῶν συλλεξάμενοι. οὐκοῦν ὑπόδικοί εἰσι κατὰ τὴν ἀπαραίτητον ἀπόφασιν τοῦ κυρίου, τῷ κρίματι τῆς μοιχείας; Ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι, καὶ δι' ἀκοῆς μολυνθῆναι, καὶ τῇ καρδίᾳ μιάσματα δέξασθαι, καὶ τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ἀμετρίᾳ ἐκπεσεῖν τῶν ὅρων τῆς σωφροσύνης. ὁ δὲ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς παρθενίας ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἑαυτῷ διὰ πάντων ἐξηρτισμένην

τῆς παρθενίας τὸ χαίρειν. Εἰ δὲ ἐπαγγελλόμενός τις διὰ τῆς παρθενίας ὀνόματι, ἔργῳ τὰ τῶν γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ ἐκ τῆς παρθενίας σεμνὸν διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος.

Οὐχ ὁ ἀνωμάλως οὕτω ἔχων περὶ τὴν σωφροσύνην, καθαρός· ἀλλ' ὁ τὸ φρόνημα τῆς σαρκὸς ὑποτάξας τῷ πνεύματι. ὁ δὲ σωφροσύνης ἐρῶν, τὴν περὶ τοῦ Ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίττων, παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδασκέσθω πράξεις, εὑρίσκων αὐτὸν, οὐ μόνον ἐγκρατῶς πρὸς ἡδονὰς ἔχοντα, ἀλλὰ καὶ ἑκτικῶς πρὸς ἀρετὴν διακείμενον. Προτροπὴ γὰρ πρὸς σωφροσύνην ὁ βίος τοῦ Ἰωσὴφ, καὶ πρὸς ἀνδρίαν παράκλησις τὰ τοῦ Σαμψὼν διηγήματα. Σώφρονα δὲ λέγομεν, οὐχ ᾧ ἀπεμαράνθησαν ὑπὸ γήρως, ἢ νόσου, ἢ ὑπὸ ἄλλου τινὸς συμπτώματος αἱ τῆς ἀκολασίας ὀρέξεις· τούτῳ γὰρ, ἡ μὲν κακία ἐνυ-

πάρχει, ἡ δὲ ἐνέργεια ἐκ τῆς τῶν ὀργάνων ἀσθενείας παραποδίζεται, ἀλλὰ σωφροσύνη ἐστὶν ἀληθὴς ἐπιστημονικὴ δύναμις ἐντυπωθεῖσα τῇ ψυχῇ διὰ βάθους, καὶ τὰ ἐνυπάρχοντα ἴχνη τῶν αἰσχρῶν κινημάτων ἐξαφανίζουσα. Οὐδὲ γὰρ ἐπὶ σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τοὺς ἀποκεκομμένους τὰ μόρια· οὐδὲ γὰρ τοὺς ἵππους ὡς μὴ κερατίζοντας ἐπαινοῦμεν, ἀλλὰ τούτους μὲν, εἰ μὴ λακτίζουσιν ἐπαινέσομεν· τοῖς δὲ βουσὶν εἰ μὴ κερατίζουσι, τῆς ἡμερότητος ἀποδεξόμεθα. οὐ γὰρ ἐν ᾧ μὴ δύναταί τις, ἀλλ' ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει, θαυμάζεται· καὶ ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη, ἀλλὰ ἀκολασίας ἀδυναμία. νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος, δι' ἀδυναμίαν κακοῦ. Ἅπαν μὲν οὖν κολάζειν τὸ σῶμα καὶ κατέχειν, ὥσπερ θηρίου τὰς ὁρμὰς, προσήκει, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ μά

εἶναι τῷ λογισμῷ καθιππουμένους χειμάζειν, ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας, περιορᾶν τὸν νοῦν, ὥσπερ ἡνίοχον ὑπὸ δυσηνίων ἵππων ὕβρει φερόμενον, παρασυρόμενον ἄγεσθαι, καὶ τὸν Πυθαγόραν μιμεῖσθαι, ὃς τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, οὗτος ἔφη, οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; διὸ δὴ καὶ Πλάτωνα φασὶ τὴν ἐκ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς, τὴν ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος, ὥσπερ ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν, περικόπτῃ. ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα. καὶ γὰρ ἡ ἄγαν τοῦ σώματος ἐπιμέλεια, αὐτῷ τε ἀλυσιτελὲς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι. τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν, μανία

σαφής. πάντως τοίνυν ὑπεροπτέον τοῦ σώματος, ᾧ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι· ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίας κτωμένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος ἔχειν πρόνοιαν, εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἀλλὰ τὰ μὲν ἡμέτερα τοιαῦτα· γυναῖκες δὲ ἀκόλαστοι ἐπιλαθόμεναι τοῦ φόβου τοῦ θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ ὅτε αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως καθῆσθαι ἐν τοῖς οἴκοις, καὶ ἔννοιαν λαμβάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ οὐρανοί, ἐπιφανήσεται δὲ ὁ κριτὴς ἐξ οὐρανῶν, καὶ σάλπιγγες θεοῦ, καὶ ἀνάστασις νεκρῶν, καὶ κρίσις ἐπὶ δικαία, καὶ ἀντίδοσις ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ, ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς, καὶ ἐκκαθαίρειν μὲν αὐτῶν τὰς καρδίας ἀπὸ πονη-

ρῶν ἐνθυμήσεων, ἐξαλείφειν ἢ τοῖς δάκρυσι τὰ παρημαρτημένα, ἐπιμάζεσθαι δὲ πρὸς ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ, ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, καὶ ῥίψασαι ἀπὸ τῶν κεφαλῶν τὰ τῆς ἀσχημοσύνης καλύμματα, καὶ καταφρονήσασαι τοῦ θεοῦ, καταφρονήσασαι τῶν ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄῤῥενος ὄψεως, σοβοῦσαι τὰς κόμας, σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσκαλούμεναι, ἐν τοῖς περὶ τῆς πόλεως μαρτυρείοις χοροὺς συστησάμεναι, ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης, τοὺς ἡγιασμένους τόπους πεποίηνται. Ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς, ἐμίαναν δὲ τὴν γῆν τοῖς ἀκαθάρτοις ποσίν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν, θέατρον ἑαυταῖς νεανίσκων ὄχλον περιστησάμεναι,

στοβάδες οὕτως καὶ παράφοροι παντελῶς, μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. Γελᾷς, εἰπέ μοι, καὶ τέρπῃ τέρψιν ἀκόλαστον, δακρύειν δέον καὶ στένειν ἐπὶ τοῖς φθάσασιν; ᾄσματα φθέγγῃ, ἐκβαλοῦσα τοὺς ψαλμοὺς καὶ τοὺς ὕμνους οὓς ἐδιδάχθης; κινεῖς πόδας, καὶ ἐξάλλῃ ἐκμανῶς, καὶ χορεύεις ἀχόρευτα, δέον τὰ γόνατα κάμπτειν πρὸς τὰς προσκυνήσεις; τίνας ὀδύρωμαι, τὰς κόρας τὰς ἀπειρογάμους, ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; αἱ μὲν γὰρ ἐπανῆλθον τὴν παρθενίαν οὐκ ἔχουσαι, αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον. εἰ γάρ που τινὲς καὶ τῷ σώματι τὴν ἁμαρτίαν διέφυγον, ἀλλὰ πάντως γε ταῖς ψυχαῖς τὴν φθορὰν ὑπεδέξαντο. Διὰ τοῦτο πᾶσα γυνὴ κακῶς κεχρημένη τῇ περιβολῇ τῆς ἐσθῆτος, προσδοκάτω αὐτῆς τὴν ἀφαίρεσιν. ἐπειδὴ γὰρ πορεύονται ἅμα σύρουσαι τοὺς χιτῶνας, ὡς μὴ

χρώμεναι

χρώμεναι τῷ ἱματισμῷ, ἀλλὰ παραχρώμεναι, κελεύονται γυμνωθῆναι τῆς δόξης τοῦ ἱματισμοῦ. ἀφαιρεῖται μέντοι καὶ ἀφ' ἡμῶν τὴν δόξαν τοῦ ἱματισμοῦ ὁ κύριος, ἐὰν ἀναξίως αὐτῷ κεχρημένοι φανῶμεν, καταπατοῦντες αὐτὸν, καὶ τῶν σαρκικῶν μολυσμάτων ἀναπιμπλάντες. Ὡς δὲ ὁ τοιοῦτος ἱματισμὸς, φησὶν, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ὃν ἀφαιρεῖ κύριος ἀπὸ τῶν δι' ἁμαρτιῶν τὸ σῶμα καταπατούντων, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγουμένων. Αἱ τοίνυν ἐπὶ τῷ τοῦ σώματος κάλλει μέγα φρονοῦσαι γυναῖκες, ὑπεραίρουσιν ἑαυτὰς τῶν λοιπῶν, ματαίῳ φρυάγματι κεχρημέναι, καὶ ἐπαιρόμεναι πράγματι ταχὺ ἀπανθοῦντι καὶ ἀπορρέοντι, ὑψηλόν τε τὸν τράχηλον φέρουσιν, ὑπὲρ τοῦ πᾶσιν αὐτῶν τὰ πρόσωπα εἶναι καταφανῆ.

Η μέντοι σεμνὴ καὶ κοσμία, εἰς γῆν κατανεύουσα ὑπὸ αἰδοῦς, ἐπὶ τὰ κάτω καθελ-

κόμμινον ἔχει τὸ πρόσωπον· ἡ δὲ ἄσεμνος καὶ πολλοὺς ἀγρεύουσα τῇ παγίδι τοῦ κάλλους περιερχομένη, προβάλλεται ὑψηλῷ τῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τὴν ἀσέλγειαν τῆς ψυχῆς καλαμίνῳ τῷ βλέμματι, ἰόν τέ τινα φθαρτικὸν ἐξαποστέλλει τοῖς ὄμμασιν, ὁποῖον δή τι καὶ ὁ περὶ τοῦ βασιλίσκου κατέχει λόγος, ὅν φασὶ καὶ ἐκ μόνης τῆς ὄψεως διαφθείρειν τοὺς θεαθέντας.

Ἐπειδὴ δέ ἐστί τινα χρώματα πρὸς κόσμον τῶν γυναιξὶν ἐπιτηδευόμενα τοῦ προσώπου, λευκόν τε καὶ ἐρυθρὸν, καὶ ἕτερον μελανοῦν· καὶ τὸ μὲν λευκότητα τοῦ σώματος καταψεύδεται, τὸ δὲ ἐρυθρὸν ταῖς παρειαῖς ἐπανθεῖ, τὸ δὲ μέλαν μηνοειδῶς τὰς ὀφρῦς τοῖς ὀφθαλμοῖς περιγράφει, καὶ αὐτὰ περιαιρήσειν ὁ κύριος ἀπειλεῖ, ἵνα μὴ κλέπτηται, φησὶν, ἡ σωφροσύνη τῶν ἀνδρῶν, μηδὲ ταῖς ζωγραφίαις ταύταις ἐλεεινῶν νεωτέρων ὀφθαλμοὶ συναρπάζωνται. αἱ γὰρ πονηραὶ

τῶν γυναικῶν διαθέσεις, τὰς ἀσθενεῖς ψυ-
χὰς τῶν συνοικούντων καταβασανίζουσιν.
ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖ-
κες, ὅπως τὸ σεμνὸν τῆς χηρείας, καὶ παρὰ
τοῖς ἀλόγοις, τοῦ ἐν ταῖς πολυγαμίαις ἀ-
πρεποῦς προτιμότερον. Οἱ μὲν ἄλλως
πολέμιοι, τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ
μητρυιαί, τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχον-
ται. Ἀλλὰ τὴν τρυγόνα φασὶ διαζευ-
χθεῖσάν ποτε τοῦ ὁμόζυγος, μηκέτι τὴν πρὸς
ἕτερον καταδέχεσθαι κοινωνίαν, ἀλλὰ μέ-
νειν ἀσυνδύαστον, μνήμῃ τοῦ ποτὲ συζευχθέν-
τος τὴν πρὸς ἕτερον κοινωνίαν ἀπαρνου-
μένην. Τί οὖν ἡμῖν γένοιτ' ἂν ἐλεεινότε-
ρον, μὴ μόνον τὴν αὐτὴν τοῖς ἀλόγοις περὶ
τοὺς ὁμόζυγας μὴ ἐπιδεικνυμένων στοργήν,
ἀλλὰ καὶ τὴν ἐναντίαν τῶν τοῦ κυρίου ἐν-
τολῶν ὁδευόντων, ὑψηλῷ τραχήλῳ, καὶ νεύ-
μασιν ὀφθαλμῶν, καὶ σοφίσμασι χρωμά-
των, τὴν σωφροσύνην ὑποκλεπτομένων.

ἃ πάντως ἀφαιρεθήσεται τότε, ὅτε γυμνὰ πάντα παρέσταται τῷ κριτῇ· ὅτε ὀφρὺς συμπεπτωκυῖα, καὶ πρόσωπα κατηφὴς, καὶ χρῶμα πελιδνὸν ὑπὸ τοῦ φόβου καθίσταται· καὶ ἀπολήψεται ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ. ἅπερ ἐν διανοίᾳ λαβόντες ἀγαπητοὶ, σπεύσωμεν ὡς ἔστι καιρὸς, κατὰ τὰ δοκοῦντα τῷ θεῷ πολιτεύεσθαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. κ.

ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ ΚΑΙ ΚΕΝΟΔΟΞΙΑΣ.



ΑΜΗΧΑΝΟΝ τὸν μὴ καταδεξάμενον τὸ πρὸς πάντας ὑποδεὲς καὶ ἔσχατον, δυνηθῆναί ποτε, ἢ λοιδορούμενον θυμοῦ κρατῆσαι, ἢ θλιβόμενον διὰ μακροθυμίας περιγενέσθαι τῶν πειρασμῶν.

Ὁ δὲ τὴν ἄκραν ταπείνωσιν κατορθώσας, ἐν ταῖς λοιδορίαις πλείονα ἑαυτοῦ καταγνοὺς τὴν εὐτέλειαν, οὐ κινηθήσεται τὴν ψυχὴν ὑπὸ τῶν ῥημάτων τῆς ἀτιμίας· ἀλλ' ἐὰν μὲν ἀκούσῃ πένης, οἶδεν ἑαυτὸν πτωχὸν ὄντα καὶ πάντων ἐνδεῆ, καὶ τῆς καθ' ἡμέραν παρὰ τοῦ κυρίου χορηγίας δεόμενον· ἐὰν δὲ ἀκούσῃ δυσγενὴς καὶ ἐξ ἀφανῶν,

περιειλημμένον ἔχειν ἐν τῇ ἑαυτοῦ καρδίᾳ ὃ ἐκ πηλοῦ γεγενῆσθαι. καὶ ἁπαξαπλῶς, μέγας ἐκεῖνος παρὰ θεῷ ὁ ταπεινοφρόνως κατακλιθεὶς τῷ πλησίον, καὶ ἀνεπαισχύντως ἐφ' ἑαυτὸν καταδεξάμενος τὰ ἐγκλήματα, κἂν μὴ ἀληθῆ ᾖ, ὑπὲρ τοῦ ὃ μέγα ὄφελος χαρίσασθαι τὴν εἰρήνην τῷ ἀδελφῷ. Ὁμοίως γὰρ ἐπὶ χαλεπὸν, ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι. τῷ ὄντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι. Τῷ δὲ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι ἕπεται στυγνὸν ὄμμα, καὶ εἰς γῆν συννενευκὸς, σχῆμα ἠμελημένον, κόμη αὐχμηρὰ, ἐσθὴς ῥυπῶσα· ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ' ἐπιτήδευσιν, ταῦτα ἐκ τοῦ αὐτομάτου ἡμῖν ἐπιφαίνεται. χιτὼν διὰ ζώνης προσεσταλμένος τῷ σώματι. ὃ μήτε

ζῶσμα, μήτε ἄνω τῶν λαγόνων· γυναικῶδες γάρ· μήτε χαῦνον, ὥστε διαῤῥεῖν τὸν χιτῶνα· βλακικὸν γάρ. καὶ τὸ βάδισμα, μήτε νωθρὸν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν· μήτ' αὖ σφοδρὸν καὶ σεσοβημένον, ὡς ἐμπλήκτου αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. σκοπὸς δὲ ἐσθῆτος εἷς, ὥστε κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὔταρκες. μήτε δὲ ἐν χρώματι τὸ ἀνθηρὸν διωκέσθω, μήτε ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν. τὸ γὰρ τὰς ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν, ἴσον γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν, ἀλλοτρίῳ ἄνθει παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι· ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ὁ χιτὼν ὀφείλει ἔχειν, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον· καὶ ὑπόδημα, τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. Γυμνάσιον γὰρ ταπεινοφροσύνης ἐστὶν, ἡ ἐν τοῖς εὐτελεστέροις

πράγμασι διατριβή, ὃ πάθος τῆς φιλοδοξίας θεραπεύουσα· κενόδοξος δέ ἐστιν, ὁ ψιλῆς ἕνεκεν τῆς τοῦ κόσμου δόξης, ποιῶν τι ἢ λέγων. Οἷον, ὁ ποιῶν ἐλεημοσύνην εἰς τὸ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων, ἀπέχει τὸν μισθόν, καὶ οὐκ ἔστιν ἐλεήμων οὐδὲ κοινωνικός· καὶ ὁ σωφρονῶν εἰς τὸ ἀνθρωπίνην ἀρέσκεσθαι, οὐκ ἔστι σώφρων, οὐ τὴν ἀρετὴν διώκων, ἀλλὰ τὴν ἀπ' αὐτῆς δόξαν θηρώμενος. ἐξῆν γὰρ τῷ Ἀνανίᾳ τὴν ἀρχὴν μὴ ἐπαγγείλασθαι τῷ θεῷ τὴν κτῆσιν αὐτοῦ· ἐπεὶ πρὸς τὴν ἀνθρωπίνην ἀπιδὼν δόξαν, τὸ μὲν κτῆμα τῷ θεῷ ἀφιέρωσεν, ὡς ἂν θαυμασθείη παρὰ τῶν ἀνθρώπων ἐπὶ τῇ φιλοτιμίᾳ, τοῦ τιμήματος δὲ ἐνοσφίσατο, τοιαύτην ἐκίνησε καθ' ἑαυτοῦ τοῦ κυρίου τὴν ἀγανάκτησιν, ἧς ὑπηρέτης ὁ Πέτρος ὤν, ὡς μηδὲ μετανοίας προθεσμίαν εὑρεῖν. ὁ γὰρ ἀντιτασσόμενος ὑπερηφάνοις κύριος, καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, τοῦτο ἐπαγγελ-

λεται τὴν ὕβριν τὴν ὑπερηφάνων ταπει-
νώσῃ. ὁ οὖν ταπεινῶν τοὺς ὑπερηφάνους, ῥύεται μὲν αὐτοὺς ἐκ τῆς πρὸς τὸν διάβολον ὁμοιότητος, ὅς ἐστι πατὴρ τῆς ὑπερηφανίας· ἐνάγει δὲ αὐτοὺς τὸ μαθητεύεσθαι τῷ εἰπόντι, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Τί μέγα φρονεῖς ἐπὶ σεαυτῷ, ὡς κόπτοντι ἔθνη, καὶ καθαιροῦντι δυναστείας τῶν πόλεων; ἢ οὕτως γ' ἂν καὶ ἡ ἀξίνη μέγα φρονοίη, ὡς τὰ ὑπέρογκα τῶν δένδρων εἰς γῆν καταβάλλουσα; καὶ ὁ πρίων, ὡς τὰ συνεστῶτα καὶ ἡνωμένα τῶν ξύλων διαιρῶν; ἀλλ' οὔτε ἡ ἀξίνη δίχα τῶν χειρῶν κόπτει, οὔτε ὁ πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν. Κἂν τὸν πέλας ἁμαρτάνοντα θεωρήσῃς, μὴ τοῦτο μόνον αὐτοῦ σκοπήσῃς· ἐνθυμήθητι δὲ καὶ ὅσα πέπραχεν ἢ πράττει καλῶς· καὶ πολλάκις εὑρήσεις αὐτὸν ἀμείνονα σεαυτοῦ, διὰ πάντων ἐξετάζων, καὶ μὴ μερικὰ ψηφιζόμενος. οὐδὲ γὰρ θεὸς μερικῶς ἐξετάζει τὸν

ἄνθρωπον. ἐγὼ γάρ, φησί, τὰ ἔργα καὶ τοὺς λογισμοὺς αὐτῶν ἔρχομαι συναγαγεῖν. καὶ ὁ Ἰωσαφὰτ ἐπιτιμήσας ποτὲ διὰ τὴν παρὰ πόδας ἁμαρτίαν, ἐμνήσθη καὶ τῶν κατορθωμάτων αὐτοῦ λέγων, πλὴν ἀλλὰ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί. Οὕτως ῥύεται πολλάκις ἡ ταπεινοφροσύνη τὸν ἡμαρτηκότα πολλὰ καὶ μεγάλα. μὴ οὖν σεαυτὸν δικαιώσῃς ὑπὲρ ἕτερον, μή ποτε δικαιωθεὶς τῇ σεαυτοῦ ψήφῳ, τῇ τοῦ θεοῦ κατακριθῇς. οἶδάς τι κατορθοῦν ἀγαθόν; εὐχαρίστει τῷ θεῷ, μὴ κατὰ τοῦ πλησίον ἐπαίρου. τί γὰρ ὤνησας τὸν πλησίον, ὅτι πίστιν ὡμολόγησας, ἢ φυγὴν ὑπέμεινας διὰ τὸ ὄνομα, ἢ τοῖς τῆς νηστείας ἐνεκαρτέρησας πόνοις· οὐχ ἑτέρου τὸ κέρδος, ἀλλὰ σόν. φοβήθητι τῆς τοῦ διαβόλου πτώσεως τὴν ὁμοίωσιν, ὃς ἐπαρθεὶς κατὰ τοῦ ἀνθρώπου, πέπτωκεν ὑπὸ ἄνθρωπον, καὶ παραδέδοται πάτημα τῷ πεπατημένῳ. καθόλου μέμνησο τῆς ἀληθοῦς παροιμίας,

ὑπερηφάνοις θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ἔχε τοῦ κυρίου τὸ ῥῆμα πρόχειρον, πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Μὴ γίνου κριτὴς ἄνισος ἑαυτοῦ, μηδὲ πρὸς χάριν ἐξέταζε, εἰ μέν τι δοκεῖς ἔχειν καλὸν, τοῦτο ἐν ψήφῳ τιθεὶς, τῶν δὲ πλημμελημάτων ἑκὼν ἐπιλανθανόμενος· μηδὲ ἐφ' οἷς μὲν σήμερον κατορθοῖς, μεγαλυνόμενος, ἐφ' οἷς δὲ πρῴην καὶ πάλαι κακῶς εἰργάσω, συγχώρησιν ἑαυτῷ διδούς· ἀλλ' ὅταν σε τὸ πρὶν ἐπαίρῃ, τὸ παλαιὸν εἰς ἀνάμνησιν ἀγέτω, καὶ παύσῃ τῆς ἀνοήτου φλεγμονῆς. Τῷ ὄντι γὰρ χαλεπώτατόν ἐστιν ἑαυτὸν ἐπιγνῶναι. οὐ γὰρ μόνος ὁ ὀφθαλμὸς τὰ ἔξω βλέπων, ἐφ' ἑαυτὸν οὐ κέχρηται τῷ ὁρᾶν· ἀλλὰ καὶ αὐτὸς ἡμῶν ὁ νοῦς ὀξέως τὸ ἀλλότριον ἁμάρτημα βλέπων, βραδύς ἐστι πρὸς τὴν τῶν οἰκείων ἐλαττωμάτων ἐπίγνωσιν. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξελέγχων· αὐ-

θάδες γὰρ τὸ τοιοῦτον· μηδὲ ἐπὶ μικροῖς καταδίκαζε, ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων· ἀλλὰ τοὺς ἐν παραπτώματι προσλαμβάνων, πνευματικῶς καταρτίζων αὐτοὺς, ὡς ὁ ἀπόστολος παραγγέλλει, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Εἰ μὲν γὰρ ἁμαρτανόμενοί τι, βελτίους ἐσόμεθα νουθετούμενοι· εἰ δὲ οὐδὲν ἀδικοῦμεν, αἰτίᾳ τίνος μισούμεθα. ἔκβαλε τῆς σεαυτοῦ ψυχῆς τὸ οἴεσθαι μηδενὸς ἑτέρου εἰς κοινωνίαν προσδεῖσθαι. οὐ γὰρ κατὰ ἀγάπην περιπατοῦντος οὐδὲ πληροῦντος ἐστὶν ἐντολὴν τοῦ Χριστοῦ, τῆς πρὸς τοὺς ἀδελφοὺς συναφείας ἑαυτὸν ἀποτέμνειν, μή ποτε τὸ πολέμου κακὸν κύκλῳ περιιὸν, καὶ πρὸς ἡμᾶς ἔλθῃ· κἂν μὴ μετὰ τῶν ἄλλων καὶ ἡμεῖς τῆς ἐπηρείας παραπολαύσωμεν, οὐδὲ τοὺς συναλγοῦντας εὑρήσομεν, διὰ τὸ ἐν καιρῷ τῆς εὐθυμίας ἡμῶν μὴ προκαταβαλέσθαι τοῖς ἠδικημένοις τὸν τῆς συμπαθείας ἔρανον. ἐμοὶ δὲ παντελῶς ἀγνοεῖ-

σθαι πλέον ἐσπούδασαι, ἢ τοῖς φιλοδόξοις τὸ διαφαίνεσθαι. Καὶ σὺ τοίνυν, τοσαύτην ποιοῦ σπουδὴν μὴ δοξάζεσθαι παρὰ ἀνθρώποις, ὅσην ἕτεροι περὶ τὸ δοξάζεσθαι. ἀλλὰ προεδρείας ἠξιώθης, ἢ περιέπουσί σε ἄνθρωποι καὶ δοξάζουσιν; γίνου τοῖς ὑπηκόοις ἴσος. τὸ γὰρ θέλοντα πρῶτον εἶναι, δοῦλον εἶναι παρὰ πάντων ὁ κύριος ἐκέλευσε. Μωϋσῆς ὁ μέγας, ὁ πάντα εὐπειθὴς καὶ ὑπήκοος, ὅτε ἀπεστέλλετο πρὸς τὸν λαόν, δέομαι, φησί, κύριε προχείρισαι ἄλλον, ὃν ἀποστελεῖς· διὸ καὶ οἱονεὶ φιλονεικότερον ἀντέχεσθαι αὐτοῦ τὸν θεὸν κατεσκεύασεν, αὐτῇ τῇ πραότητι καὶ τῇ ὁμολογίᾳ τῆς ἀσθενείας, τὸ ἄξιον τοῦ παρεστάναι δεικνύς. διὸ καλῶς ἔχει τὸ παράγγελμα, μὴ ζήτει γενέσθαι κριτὴς, μή πως οὐκ ἰσχύσῃς ἐξᾶραι ἀδικίας. ὁ μέντοι προφητικὸς λόγος, τὴν παραίτησιν τῶν ἑλκομένων ἀρχὴν ὑπὸ τῶν στασιαζόντων, οὐ καθόλου φησὶ γενέσθαι. οὐ γὰρ εἶπεν ἁπλῶς

οὐκ ἔσομαι ἀρχηγὸς, ἀλλὰ μετὰ προσθή-
κης, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου.
καὶ τὴν αἰτίαν ἐπήγαγεν, ὅτι αἱ γλῶσσαι αὐ-
τῶν μετὰ ἀνομίας εἰσὶ πρὸς κύριον. ἀπει-
θοῦσιν. εἶτα, Μωϋσῆς μὲν ἐπὶ περιφανείᾳ
βίου καὶ λαοῦ προστασίαν τοσούτου καλού-
μενος, παραιτεῖται, τίς εἰμι, ὅτι πορεύσομαι
πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξά-
ξω τὸν λαὸν ἐκ τῆς Αἰγύπτου. καὶ πάλιν,
δέομαι κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθὲς,
οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ' οὗ
ἤρξω λαλεῖν τῷ θεράποντί σου. καὶ πάλιν,
δέομαι κύριε, προχείρισαι ἄλλον δυνάμε-
νον ὃν ἀποστελεῖς. Ὁ δὲ κύριος πρὸς αὐ-
τὸν, πορεύου καὶ ὁδήγει τὸν λαὸν τοῦτον, καὶ τὸν
ἄγγελόν μου ἐξαποστελῶ ἔμπροσθέν σου.
Τί οὖν ὁ Μωϋσῆς, δέομαι κύριε, εἰ μὴ αὐτὸς
σὺ συμπορεύῃ ἡμῖν, μὴ ἀναγάγῃς ἡμᾶς
ἐντεῦθεν. Ἡσαΐας δὲ οὐδὲν τοιοῦτον ἀκού-
σας, ἀλλὰ μόνην τὴν χρείαν διδαχθεὶς τῆς

ἀποστολῆς, ἑκὼν ἑαυτὸν ἐπέδωκε, καὶ μέσοις ἐνέβη τοῖς δεινοῖς. τίς οὖν ἡ διάνοια τῶν ἀνδρῶν· τοῦ μὲν Μωσέως, ὅτι ἁμαρτωλὸς ὁ λαὸς, καὶ χρήζει τοῦ ἀφιέντος ἁμαρτίας, ὅπερ ἀγγέλοις ἀδύνατον. τιμωροὶ μὲν γὰρ τῶν ἁμαρτανομένων ἄγγελοι, συγχωρητικοὶ δὲ τῶν πλημμελουμένων, οὐκ ἔτι. ἐλθέτω οὖν ὁ ἀληθινὸς νομοθέτης, ὁ δυνατὸς σωτὴρ, ὁ μόνος ἔχων ἐξουσίαν ἀφιέναι ἁμαρτίας. τοῦ δὲ Ἡσαΐου, ὅτι τῇ ὑπερβολῇ τῆς ἀγάπης, οὐδὲν τῶν μελλόντων ἐπάγεσθαι αὐτῷ παρὰ τοῦ λαοῦ ἐλογίσατο. τούτων ἑκατέρου τὸν τρόπον ζηλώσωμεν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος, σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑτρὸς ἡμῶν Βασιλείου, λόγ. κα.

ΠΕΡΙ ΕΥΤΥΧΙΑΣ ΚΑΙ ΔΥΣΤΥΧΙΑΣ ΚΑΙ ΦΡΟΝΗΣΕΩΣ.



ΟΥΤΕ τὰ δεξιὰ, καὶ περισπούδαστα τοῖς πολλοῖς, τὸ ἑστὼς καὶ μόνιμον ἔχει· οὔτε τὰ περιστατικὰ τῶν πραγμάτων τὸ κατηφὲς παγίως ἥδρασται, ἀλλὰ πάντα σάλῳ τινὶ καὶ κλόνῳ, καὶ μεταβολαῖς ἀδοκήτοις ὑπόκειται. οὔτε γὰρ ὑγεία σώματος, οὔτε νεότητος ἄνθος, οὔτε εὐθηνία οἴκου, οὐχ ἡ λοιπὴ συμμετρία τοῦ βίου ἐπὶ πολὺ διαμένει, ἀλλ' ἐν τῇ εὐοδίᾳ ὢν τοῦ βίου, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων. Ἥξει γὰρ νόσος, ἥξει πενία, οὐκ ἀεὶ κατὰ πρύμναν ἵσταται οὔρου τοῦ πνεύματος. ἀλλὰ καὶ τὸν περίβλεπτον ἐν πᾶσι καὶ ζηλωτὸν, ἀδόκητοι πολ-

λάκις ἀδοξίαι καταλαμβάνουσι, καὶ πᾶσαν δυσημερίαν τοῦ βίου, οἷαι ἀπλάδες τινὲς, περιστάσεις ἀβούλητοι συνετάραξαν, καὶ ἡ συνέχεια τῶν κακῶν, ὥσπερ κύματά σοι ἐστίν; ἄλλα ἐπ' ἄλλοις ἐπεγειρόμενα· ὅμως δὲ ποτὲ καὶ ταῦτα παραδραμόντα, καὶ πρὸς ἱλαρότητα καὶ λευκὴν ὄντως γαλήνην τὸν βίον μεταβαλλόμενον. Ὥσπερ γὰρ θάλασσαν ἀμήχανον τὴν αὐτὴν ἐπὶ πολὺ διαρκέσαι· τὴν γὰρ νῦν λείαν καὶ σταθηρὰν, μικρὸν ὕστερον ὅμως βίαις ἀνέμων τραχυνομένην· καὶ μέντοι καὶ τὴν ἀγριαίνουσαν καὶ βρασσομένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ κατεστόρεσεν· οὕτω καὶ τὰ τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει τὰς περιστροφὰς ἐφ' ἑκάτερα. Διὰ τοῦτο κυβερνήτου χρεία, ἵνα καὶ ἐν γαλήνῃ τοῦ βίου, πάντων αὐτῷ κατὰ νοῦν προϊόντων, τὰς μεταβολὰς ἐκδέχηται, καὶ μὴ ὡς ἀθανάτοις τοῖς πρόσοισιν ἐπαναπαύηται, καὶ ἐν τῇ σκυθρωποτέρα κα-

b

ταράσσῃ, μὴ ἀπελπίζῃ τῶν ἀγαθῶν, ὡς ἂν μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθεὶς, ὑποβρύχιος φέρηται. Ὥσπερ γάρ ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένος τῆς ὑποκειμένης φύσεως, μεταχειριζόμενος τὰ συμπίπτοντα, καὶ ὁμοίως ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς. Καίτοι κυβερνήτῃ μὲν οὐκ ἔξεστι γαλήνην ποιεῖν ὅτε βούλεται, ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καθιστᾶν τὸν βίον καὶ πάνυ ῥᾴδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους θορύβους κατασιγάσωμεν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα· ἐπεὶ οἵ γε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷον ὄρνιθες πολύσαρκοι, εἰκῇ τὸ πτερὸν ἔχοντες, κάτω που σύρονται μετὰ τῶν βοσκημάτων.

Πολλοὶ δὲ πολλάκις πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γε-

νόμενοι, ἐπιδημασάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἠνέσχοντο τοῦ κλύδωνος τὸ βάρος· διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι, πάντων ἐκείνων τὴν ζημίαν ὑπέμειναν· καὶ οἱ μὲν περὶ τὴν πίστιν ἐναυάγησαν, ἄλλοι δὲ τὴν σωφροσύνην ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος τινὸς τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης ἀπώλεσαν. ἐλεεινότατον θέαμα, μετὰ νηστείαν, μετὰ σκληραγωγίαν, μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον δαψιλὲς, μετὰ ἐγκράτειαν εἴκοσί που ἐτῶν ἢ τριάκοντα, δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν, γυμνὸν ἁπάντων ἀποδυθῆναι, καὶ παραπλήσιον γενέσθαι τὸν τῇ ἐργασίᾳ τῶν ἐν πλῷ εὐθηνουμένων ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τὰ πλήθη τῶν ἀγωγίμων ἐπαγαλλόμενος, ἐξ εὐδίας αὐτῷ τῆς νηὸς φερομένης, τὰ φοβερὰ πελάγη διαδραμὼν, πρὸς αὐτοῖς τοῖς λιμέσι διαρραγέντος τοῦ πλοίου, πάντων

ἄθεον ἔρημος ἀπεδείχθη. Τοῖς τοιούτοις ὁ θεὸς ἡμῶν ἐλεεῖ. ἔλεος γάρ ἐστι, πάθος ἐπὶ τοῖς παρ' ἀξίαν τεταπεινωμένοις, παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον. ἠλεοῦμεν τὸν ἐκ μεγάλου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν καταπεσόντα, τὸν ἐκ τῆς ἄκρας εὐεξίας τοῦ σώματος εἰς τὴν ἐσχάτην ἀσθένειαν καταβληθέντα, τὸν ἐπὶ κάλλει καὶ ὥρᾳ σώματος ἀγαλλόμενον καὶ ὑπὸ τῶν αἰσχίστων παθῶν διαφθαρέντα. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἦμεν ποτε ἔνδοξοι ἐπὶ τῆς τοῦ παραδείσου διαγωγῆς, ἐγενόμεθα ἄδοξοι καὶ ταπεινοὶ διὰ τὴν ἔκπτωσιν. ὁ θεὸς ἡμῶν ἐλεεῖ, ὁρῶν ἡμᾶς οἷοι ἀνθ' οἵων γεγόναμεν· διὰ τοῦτο καὶ τὸν Ἀδὰμ ἀνεκαλεῖτο τῇ τοῦ ἐλέους φωνῇ λέγων, Ἀδὰμ ποῦ εἶ. οὐ γὰρ διδαχθῆναι ἐζήτει ὁ πάντα εἰδὼς, ἀλλὰ νοῆσαι αὐτὸν ἐβούλετο, οἷος ἀνθ' οἵου γέγονε· ποῦ εἶ, ἀντὶ τοῦ, εἰς ποῖον πτῶμα καταλήλυθας ἀπὸ τηλικούτου ὕψους. Χρὴ οὖν

ὥσπερ δικαστὴν τὸν λόγον, τὸν ἀνώτατω χώραν παρ' ἡμῖν λαχόντα, ἕκαστα κρίνειν καὶ ἐξετάζειν, τά τε δεξιὰ καὶ μὴ, ἐπὶ τὸ συγκαταθέσει τῶν πραγμάτων, καὶ ταῖς ὁρμαῖς τῆς ψυχῆς μετ' ἀκριβοῦς ἐπικρίσεως ἐπιτρέπειν. τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Παῦλος· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Μὴ γίνου πολυπράγμων τὸ μέλλον, ἀλλὰ τὰ παρόντα πρὸς τὸ χρήσιμον διατίθεσο. τί γὰρ ὄφελος ἐκ τοῦ προλαβεῖν τὴν γνῶσιν· εἰ μὲν ἀγαθὸν ἔσται τὸ ἐσόμενον, ἥξει, κἂν μὴ προγνῷς· εἰ δὲ λυπηρὸν, τί σοι τὸ κέρδος προσαπολαῦσαι τῇ λύπῃ. Διπλοῦν ἐστι τὸ τῆς φρονήσεως ὄνομα. ἡ μὲν γάρ ἐστι φυλακὴ τοῦ οἰκείου συμφέροντος μετὰ τοῦ πλησίον ἐπιβουλῆς, οἷα ἡ τοῦ ὄφεως τὴν κεφαλὴν συντηροῦντος· ἡ δέ τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους, ὁποία ἡ τοῦ οἰκονό-

μου τῆς ἀδικίας· ἡ δὲ ἀληθὴς φρόνησις, διάγνωσίς ἐστι τῶν ποιητέων καὶ οὐ ποιητέων, ᾗ ὁ κατακολουθῶν, οὐδέ ποτε μὲν τῶν τῆς ἀρετῆς ἐκστήσεται ἔργων, οὐδέ ποτε δὲ τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. ἐπεὶ δὲ οὐκ αὐτάρκης ἕκαστος ἀφ' ἑαυτοῦ εὑρίσκειν τὸ δέον, διὰ τοῦτο εὐεργετῶν ἡμᾶς ὁ θεὸς, συμβούλους, ἀλλ' οὐχὶ ἐξουσιαστὰς δίδωσι. βασιλέως μὲν γὰρ ἴδιον, ἐπιτάσσειν τοῖς ἀρχομένοις· συμβούλου δὲ, πείθειν ὑπὲρ τῶν συμφερόντων τοὺς βουλομένους. ὥστε καὶ ἡμῶν ἕκαστον, μὴ ὡς ἄρχοντα ἑαυτὸν, ἀλλ' ὡς σύμβουλον παρὰ κυρίου δεδομένον τῷ λαῷ, λογιζέσθω. οὕτως ἦν καὶ ὁ Παῦλος σύμβουλος τῆς καινῆς διαθήκης λέγων, γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος παρὰ κυρίου. μεγάλη δὲ εὐεργεσία, συμβούλου φρονίμου καὶ εὐνοϊκῶς ἔχοντος παρουσία, ἀναπληροῦντος τὸ τῆς συνέσεως ἐλλεῖπον τῶν βουλομένων. ὅσοι δὲ τὸ ἀπὸ

συμβουλῆς ὄφελος δείκνυσι μάλιστα Μωϋ-
σῆς, ὁ πάσῃ αἰγυπτίων σοφίᾳ παιδευθεὶς,
ὁ τῷ θεῷ διαλεγόμενος, ὡς ἄν εἴ τις λα-
λήσῃ φίλος φίλῳ. Οὗτος ἔλαβε γνώμην
παρὰ τοῦ πενθεροῦ αὐτοῦ Ἰαθὼρ, ὥστε κα-
ταστῆσαι χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ
δεκάρχους ἐπὶ τὸ κρίνειν τὸν λαόν. καὶ Δα-
βὶδ δὲ, συμβούλῳ ἐχρήσατο τῷ Χουσί, δι' οὗ
διεσκέδασε στρατηγικὴν γνώμην τοῦ Ἀρχι-
τόφελ. καὶ ὅλως ἱερόν τι πρᾶγμα ἡ συμ-
βουλὴ, γνώμης ἕνωσις, ἀγάπης καρπὸς, τα-
πεινοφροσύνης ἀπόδειξις. ἀλαζονεία γὰρ
δεινὸν τὸ μηδενὸς οἴεσθαι χρήζειν, ἀλλ' ἑαυ-
τοῦ προσέχειν, ὡς μόνῳ τὰ κράτιστα συμ-
βουλεύσασθαι δυναμένῳ. ἡμεῖς δὲ ὀκνοῦ-
μεν ἑαυτοῖς ἐπιδοῦναι τοῖς τὰ δέοντα εἰ-
σηγουμένοις, καὶ αἰσχυνόμεθα τοὺς συνε-
τωτέρους ἡμῶν κατὰ τὸν βίον ὁμολογεῖν· ὁ δὲ
τὸν σύμβουλον ἀναμένων καὶ τοῖς ἰδίοις λο-
γισμοῖς καιρὸν δίδωσι, ἐν χρόνῳ πλείονι

πράγμασι διατριβὴ, τὸ πάθος τῆς φιλοδοξίας θεραπεύουσα· κενόδοξος δέ ἐστιν, ὁ ψιλῆς ἕνεκεν τῆς τοῦ κόσμου δόξης, ποιῶν τι ἢ λέγων. Οἷον, ὁ ποιῶν ἐλεημοσύνην εἰς τὸ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων, ἀπέχει τὸν μισθὸν, καὶ οὐκ ἔστιν ἐλεήμων οὐδὲ κοινωνικός· καὶ ὁ σωφρονῶν εἰς τὴν ἀνθρωπίνην ἀρέσκειαν, οὐκ ἔστι σώφρων, οὐ τὴν ἀρετὴν διώκων, ἀλλὰ τὴν ἀπ' αὐτῆς δόξαν θηρώμενος. ἀξιῶ γὰρ τὸν Ανανίαν τὴν ἀρχὴν μὴ ἐπαγγείλασθαι τῷ θεῷ τὴν κτῆσιν· ἀλλ' ἐπεὶ πρὸς τὴν ἀνθρωπίνην ἀπιδὼν δόξαν, τὸ μὲν κτῆμα τῷ θεῷ ἀφιέρωσεν, ὡς ἂν θαυμαστωθείη παρὰ τῶν ἀνθρώπων ἐπὶ τῇ φιλοτιμίᾳ, τοῦ τιμήματος δὲ ἐνοσφίσατο, τοιαύτην ἐκίνησε καθ' ἑαυτοῦ τοῦ κυρίου τὴν ἀγανάκτησιν, ἧς ὑπηρέτης ὁ Πέτρος ἦν, ὡς μηδὲ μετανοίας προθεσμίαν εὑρεῖν. ὁ γὰρ ἀντιτασσόμενος ὑπερηφάνοις κύριος, καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, οὗτος ἐπαγγέλ-

λεται τὴν ὕβριν τὴν ὑπερηφάνων ταπεινώσῃ. ὁ οὖν ταπεινῶν τοὺς ὑπερηφάνους, ῥύεται μὲν αὐτοὺς ἐκ τῆς πρὸς τὸν διάβολον ὁμοιότητος, ὅς ἐστι πατὴρ τῆς ὑπερηφανίας· ἐνάγει δὲ αὐτοὺς τὸ μαθητεύεσθαι τῷ εἰπόντι, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Τί μέγα φρονεῖς ἐπὶ σεαυτῷ, ὡς κόπτοντι ἔθνη, καὶ καθαιροῦντι δυναστείας τῶν πόλεων; ἢ οὕτως γ' ἂν καὶ ἡ ἀξίνη μέγα φρονεῖν, ὡς τὰ ὑπέρογκα τῶν δένδρων εἰς γῆν καταβάλλουσα; καὶ ὁ πρίων, ὡς τὰ συνεστῶτα καὶ ἡνωμένα τῶν ξύλων διαιρῶν; ἀλλ' οὔτε ἡ ἀξίνη ἄνευ τῶν χειρῶν κόπτει, οὔτε ὁ πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν. Κἂν τὸν πέλας ἁμαρτάνοντα θεωρήσῃς, μὴ τοῦτο μόνον αὐτοῦ σκοπήσῃς· ἐνθυμήθητι δὲ καὶ ὅσα πέπραχεν ἢ πράττει καλῶς· καὶ πολλάκις εὑρήσεις αὐτὸν ἀμείνονα σεαυτοῦ, διὰ πάντων ἐξετάζων, καὶ μὴ μερικὰ ψηφιζόμενος. οὐδὲ γὰρ θεὸς μερικῶς ἐξετάζει τὸν

ἄνθρωπον. ἐγὼ γάρ, φησί, τὰ ἔργα καὶ τοὺς λο-
γισμοὺς αὐτῶν ἔρχομαι συναγαγεῖν. καὶ τὸν
Ἰωσαφάτ ἐπιτιμήσας ποτὲ διὰ τὴν περὶ
πόδας ἁμαρτίαν, ἐμνήσθη καὶ τῶν κατορ-
θωμάτων αὐτοῦ λέγων, πλὴν ἀλλὰ λόγοι
ἀγαθοὶ εὑρέθησαν ἐν σοί. Οὕτως ῥύεται
πολλάκις ἡ ταπεινοφροσύνη τὸν ἡμαρτηκό-
τα πολλὰ καὶ μεγάλα. μὴ οὖν σεαυτὸν δι-
καιώσῃς ὑπὲρ ἕτερον, μή ποτε δικαιωθεὶς
τῇ σεαυτοῦ ψήφῳ, τῇ τοῦ θεοῦ κατακριθῇς.
οἶδας τι κατορθοῦν ἀγαθόν; εὐχαρίστει τῷ θεῷ,
μὴ κατὰ τοῦ πλησίον ἐπαίρου. τί γὰρ ὤνη-
σας τὸν πλησίον, ὅτι πίστιν ὡμολόγησας, ἢ φυ-
γὴν ὑπέμεινας διὰ τὸ ὄνομα, ἢ τοῖς τῆς νη-
στείας ἐνεκαρτέρησας πόνοις· οὐχ ἑτέρου τὸ
κέρδος, ἀλλὰ σόν. φοβήθητι τῆς τοῦ διαβό-
λου πτώσεως τὴν ὁμοίωσιν, ὃς ἐπαρθεὶς κατὰ
τοῦ ἀνθρώπου, πέπτωκεν ὑπὸ ἄνθρωπον,
καὶ παραδέδοται πάτημα τῷ πεπατημένῳ.
καθόλου μέμνησο τῆς ἀληθοῦς παροιμίας,

ὑπερηφάνοις θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ἔχει δὲ κυρίου τὸ ῥῆμα πρόχειρον, πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Μὴ γίνου κριτὴς ἄνισος ἑαυτοῦ, μηδὲ πρὸς χάριν ἐξέταζε, εἰ μέν τι δοκεῖς ἔχειν καλὸν, τοῦτο ἐν ψήφῳ τιθεὶς, τῶν δὲ πταισμάτων ἑκὼν ἐπιλανθανόμενος· μηδὲ ἐφ' οἷς μὲν σήμερον κατορθοῖς, μεγαλυνόμενος, ἐφ' οἷς δὲ πρῴην καὶ πάλαι κακῶς εἰργάσω, συγχώρησιν ἑαυτῷ διδούς· ἀλλ' ὅταν σε τὸ παρὸν ἐπαίρῃ, τὸ παλαιὸν εἰς ἀνάμνησιν ἀγέτω, καὶ παύσῃ τῆς ἀναισθήτου φλεγμονῆς. Τῷ ὄντι γὰρ χαλεπώτατόν ἐστιν ἑαυτὸν ἐπιγνῶναι. οὐ γὰρ μόνος ὁ ὀφθαλμὸς τὰ ἔξω βλέπων, ἐφ' ἑαυτὸν οὐ κέχρηται τῷ ὁρᾷν· ἀλλὰ καὶ αὐτὸς ἡμῶν ὁ νοῦς ὀξέως τὸ ἀλλότριον ἁμάρτημα βλέπων, βραδύς ἐστι πρὸς τὴν τῶν οἰκείων ἐλαττωμάτων ἐπίγνωσιν. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξελέγχων· αὐ-

θαδες γὰρ τὸ τοιοῦτον· μηδὲ ἐπὶ μικροῖς καταδίκαζε, ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων· ἀλλὰ τοὺς ἐν παραπτώματι προσλαμβάνων, πνευματικῶς καταρτίζων αὐτούς, ὡς ὁ ἀπόστολος παραινεῖ, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Εἰ μὲν γὰρ ἁμαρτάνομέν τι, βελτίους ἐσόμεθα νουθετούμενοι· εἰ δὲ οὐδὲν ἀδικοῦμεν, ἀντὶ τίνος μισούμεθα. ἔκβαλε τῆς σεαυτοῦ ψυχῆς τὸ οἴεσθαι μηδενὸς ἑτέρου εἰς κοινωνίαν προσδεῖσθαι. οὐ γὰρ κατὰ ἀγάπην περιπατοῦντος οὐδὲ πληροῦντος ἐστὶν ἐντολὴν τοῦ Χριστοῦ, τῆς πρὸς τοὺς ἀδελφοὺς συναφείας ἑαυτὸν ἀποτέμνειν, μή ποτε τὸ πολέμου κακὸν κύκλῳ περιϊὸν, καὶ πρὸς ἡμᾶς ἔλθῃ· κἂν μὴ μετὰ τῶν ἄλλων καὶ ἡμεῖς τῆς ἐπηρείας παραπολαύσωμεν, οὐδὲ τοὺς συναλγοῦντας εὑρήσομεν, διὰ τὸ ἐν καιρῷ τῆς εὐθυμίας ἡμῶν μὴ προκαταβαλέσθαι τοῖς ἠδικημένοις τὸν τῆς συμπαθείας ἔρανον. ἐμοὶ δὲ παντελῶς ἀγνοεῖ-

σθαι πλέον ἐσπούδασται, ἢ τοῖς φιλοδόξοις τὸ διαφαίνεσθαι. Καὶ σὺ τοίνυν, τοσαύτην ποιοῦ σπουδὴν μὴ δοξάζεσθαι παρὰ ἀνθρώποις, ὅσην ἕτεροι περὶ τὸ δοξάζεσθαι. ἀλλὰ προεδρείας ἠξιώθης, καὶ περιέπουσί σε ἄνθρωποι καὶ δοξάζουσιν; γίνου τοῖς ὑπηκόοις ἴσος. τὸν γὰρ θέλοντα πρῶτον εἶναι, δοῦλον εἶναι παρὰ πάντων ὁ κύριος ἐκέλευσε. Μωϋσῆς ὁ μέγας, ὁ πάντα εὐπειθὴς καὶ ὑπήκοος, ὅτε ἀπεστέλλετο πρὸς τὸν λαόν, δέομαι, φησί, κύριε, προχείρισαι ἄλλον, ὃν ἀποστελεῖς· διὸ καὶ οἱονεὶ φιλονεικότερον ἀντέχεσθαι αὐτοῦ τὸν θεὸν κατεσκεύασεν, αὐτῇ τῇ παραιτήσει καὶ τῇ ὁμολογίᾳ τῆς ἀσθενείας, τὸ ἄξιον τοῦ προεστάναι δεικνύς. διὸ καλῶς ἔχει τὸ παράγγελμα, μὴ ζήτει γενέσθαι κριτής, μή πως οὐκ ἰσχύσῃς ἐξᾶραι ἀδικίας. ὁ μέντοι προφητικὸς λόγος, τὴν παραίτησιν τῶν ἑλκομένων ἄρχειν ὑπὸ τῶν στασιαζόντων, οὐ καθόλου φησὶ γεγενῆσθαι· οὐ γὰρ εἶπεν ἁπλῶς

οὐκ ἔσομαι ἀρχηγὸς, ἀλλὰ μετὰ προσθήκης, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου· καὶ τὴν αἰτίαν ἐπήγαγεν, ὅτι αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας τὰ πρὸς κύριον ἀπειθοῦσιν. εἶτα, Μωϋσῆς μὲν ἐπὶ περιφανείᾳ βίου καὶ λαοῦ προστασίαν τοσούτου καλούμενος, παραιτεῖται, τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξω τὸν λαὸν ἐκ τῆς Αἰγύπτου· καὶ πάλιν, δέομαι κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθὲς, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ' οὗ ἤρξω λέγειν τῷ θεράποντί σου· καὶ πάλιν, δέομαι κύριε, προχείρισαι ἄλλον δυνάμενον ὃν ἀποστελεῖς. Ὁ δὲ κύριος πρὸς αὐτὸν, πορεύου καὶ ὁδήγει τὸν λαὸν τοῦτον, καὶ τὸν ἄγγελόν μου ἐξαποστελῶ ἔμπροσθέν σου. τί οὖν ὁ Μωϋσῆς, δέομαι κύριε, εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ ἡμῖν, μὴ ἀναγάγῃς ἡμᾶς ἐντεῦθεν. Ἡσαΐας δὲ οὐδὲν τοιοῦτον ἀκούσας, ἀλλὰ μόνην τὴν χρείαν διδαχθεὶς τῆς

ἀποστολῆς, ἑκὼν ἑαυτὸν ἐπέδωκε, καὶ μέσος ἐνέβη τοῖς δήμοις. ὡς οὖν ἡ διάνοια τῶν ἀνδρῶν· τοῦ μὲν Μωσέως, ὅτι ἁμαρτωλὸς ὁ λαός, καὶ χρήζει τοῦ ἀφιέντος ἁμαρτίας, ὅπερ ἀτέλεσις ἀδυνάτου. ἡμαρτεῖ μὲν γὰρ τῶν ἁμαρτανομένων ἀτέλεσι, συγχωρητικοὶ δὲ τῶν πλημμελουμένων, οὐκ ἔτι. ἐλθέτω οὖν ὁ ἀληθινὸς νομοθέτης, ὁ δυνατὸς σωτὴρ, ὁ μόνος ἔχων ἐξουσίαν ἀφιέναι ἁμαρτίας. τοῦ δὲ Ησαΐου, ὅτι τῇ ὑπερβολῇ τῆς ἀγάπης, οὐδὲν τῶν μελλόντων ἐπάγεσθαι αὐτῷ περὶ τοῦ λαοῦ ἐλογίσατο. τούτων ἑκατέρου τὸν τρόπον ζηλώσωμεν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ιησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος, σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

λάκις ἀδοξίαι καταλαμβάνουσι, καὶ πᾶσαν
δυσημερίαν τοῦ βίου, οἷαι σπιλάδες τινὲς, πε-
ριστάσεις ἀβούλητοι συνετάραξαν, καὶ ἡ συ-
νέχεια τῶν κακῶν, ὥσπερ κύματά σοι ἐστὶν,
ἄλλα ἐπ' ἄλλοις ἐπεγειρόμενα· ὅμως δὲ ποτὲ
καὶ ταῦτα παραδραμόντα, καὶ πρὸς ἱλα-
ρότητα καὶ λευκὴν ὄντως γαλήνην τὸν βίον
μεταβαλλόμενον. Ὥσπερ γὰρ θάλασσαν
ἀμήχανον τὴν αὐτὴν ἐπὶ πολὺ διαρκέ-
σαι· τὴν γὰρ νῦν λείαν καὶ σταθερὰν, μικρὸν
ὕστερον ὁμοῦ βίαις ἀνέμων τραχυνομένην·
καὶ μέντοι καὶ τὴν ἀγριαίνουσαν καὶ βρασσο-
μένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ
κατεστόρεσεν· οὕτω καὶ τὰ τοῦ βίου πράγμα-
τα ῥᾳδίως λαμβάνει τὰς περιστροφὰς ἐφ' ἑ-
κάτερα. Διὰ τοῦτο κυβερνήτου χρεία, ἵνα
καὶ ἐν γαλήνῃ τοῦ βίου, πάντων αὐτῷ κατὰ
νοῦν προϊόντων, τὰς μεταβολὰς ἐκδέ-
χηται, καὶ μὴ ὡς ἀθανάτοις τοῖς παροῦσιν
ἐπαναπαύηται, καὶ ἐν τῇ σκυθρωποτέρᾳ κα-

παράστῃ, μὴ ἀπελπίζῃ τῶν ἀγαθῶν, ὡς ἂν μὴ τῇ περαιτέρω λύπῃ καταποθεὶς, ὑποβρύχιος φέρηται. Ὥσπερ γάρ ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένος τῆς ὑποκειμένης φύσεως, μεταχειριζόμενος τὰ συμπίπτοντα, καὶ ὁμοίως ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς. Καίτοι κυβερνήτῃ μὲν οὐκ ἔξεσται γαλήνην ποιεῖν ὅτε βούλεται, ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καθιστᾶν τὸν βίον καὶ πάνυ ῥάδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους θορύβους κατασιγάσωμεν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα. ἐπεὶ οἵ γε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷα ὄρνιθες πολύσαρκοι, εἰκῇ τὸ πτερὸν ἔχοντες, κάτω που σύρονται μετὰ τῶν βοσκημάτων.

Πολλοὶ δὲ πολλάκις πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γε-

νόμενοι, ἐπιθυμασάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἠνέσχοντο τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι, πάντων ἐκείνων τὴν ζημίαν ὑπέμειναν. καὶ οἱ μὲν περὶ τὴν πίστιν ἐναυάγησαν, ἄλλοι δὲ τὴν σωφροσύνην ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος τινὸς τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης ἀπώλεσαν. ἐλεεινότατον θέαμα, μετὰ νηστείαν, μετὰ σκληραγωγίαν μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον δαψιλές, μετὰ ἐγκράτειαν εἴκοσί που ἐτῶν ἢ τριάκοντα, δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν, γυμνὸν ἁπάντων ἀποδυθῆναι, καὶ παραπλήσιον γίνεσθαι τὸν τῇ ἐργασίᾳ τῶν ἐν πλῷ εὐθηνούμενον, ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐπαγαλλόμενος, ἐξ εὐδίας αὐτῆς τῆς νηὸς φερομένης, τὰ φοβερὰ πελάγη διαδραμὼν, πρὸς αὐτοῖς τοῖς λιμέσι διαρραγέντος τοῦ πλοίου, πάντων

ἄθεον ἔρημος ἀπεδείχθη. Τοὺς τοιούτους ὁ θεὸς ἡμῶν ἐλεεῖ. ἔλεος γάρ ἐστι, πάθος ἐπὶ τοὺς παρ᾽ ἀξίαν τεταπεινωμένους, παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον. ἐλεοῦμεν τὸν ἐκ μεγάλου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν καταπεσόντα, τὸν ἐκ τῆς ἄκρας εὐεξίας τοῦ σώματος εἰς τὴν ἐσχάτην ἀσθένειαν καταβληθέντα, τὸν ἐπὶ κάλλει καὶ ὥρᾳ σώματος ἀγαλλόμενον καὶ ὑπὸ τῶν αἰσχίστων παθῶν διαφθαρέντα. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἦμεν ποτε ἔνδοξοι ἐπὶ τῆς τοῦ παραδείσου διαγωγῆς, ἐγενόμεθα ἄδοξοι καὶ ταπεινοὶ διὰ τὴν ἔκπτωσιν. ὁ θεὸς ἡμῶν ἐλεεῖ, ὁρῶν ἡμᾶς οἷοι ἀνθ᾽ οἵων γεγόναμεν. διὰ τοῦτο καὶ τὸν Ἀδὰμ ἀνεκαλεῖτο τῇ τοῦ ἐλέου φωνῇ λέγων, Ἀδὰμ ποῦ εἶ. οὐ γὰρ διδαχθῆναι ἐζήτει ὁ πάντα εἰδώς, ἀλλὰ νοῆσαι αὐτὸν ἐβούλετο, οἷος ἀνθ᾽ οἵου γέγονε. ποῦ εἶ, ἀντὶ τοῦ, εἰς ποῖον πτῶμα κατελήλυθας ἀπὸ τηλικούτου ὕψους. Χρὴ οὖν

ὥσπερ δικαστὴν τὸν λόγον, τὸν ἀνώτατον χώραν παρ' ἡμῖν λαχόντα, ἕκαστα κρίνειν καὶ ἐξετάζειν, τά τε δεξιὰ καὶ μή, καὶ ταῖς συγκαταθέσεσι τῶν πραγμάτων, καὶ ταῖς ὁρμαῖς τῆς ψυχῆς μετ' ἀκριβοῦς ἐπικρίσεως ἐπιτρέπειν. τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Παῦλος· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Μὴ τοίνυν πολυπραγμόνει τὸ μέλλον, ἀλλὰ τὰ παρόντα πρὸς τὸ χρήσιμον διατίθεσο. τί γὰρ ὄφελος ἐκ τοῦ προλαβεῖν τὴν γνῶσιν· εἰ μὲν ἀγαθὸν ἔσται τὸ ἐσόμενον, ἥξει, κἂν μὴ προγνῷς· εἰ δὲ λυπηρόν, τί σοι τὸ κέρδος προδαπανᾶσθαι τῇ λύπῃ. Διπλοῦν ἐστὶ τὸ τῆς φρονήσεως ὄνομα. ἡ μὲν γὰρ ἐστὶ φυλακὴ τοῦ οἰκείου συμφέροντος μετὰ τοῦ πλησίον ἐπιβουλῆς, οἵα ἡ τοῦ ὄφεως τὴν κεφαλὴν συντηροῦντος· ἡ δέ τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους, ὁποία ἡ τοῦ οἰκονό-

μου τῆς ἀδικίας· ἡ δὲ ἀληθὴς φρόνησις, διάγνωσίς ἐστι τῶν ποιητέων καὶ οὐ ποιητέων, ἧ ὁ κατακολουθῶν, οὐδέ ποτε μὲν τῶν τῆς ἀρετῆς ἐκπίπτεται ἔργων, οὐδέ ποτε δὲ τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. ἐπεὶ δὲ οὐκ αὐτάρκης ἕκαστος ἀφ' ἑαυτοῦ εὑρίσκειν τὸ δέον, διὰ τοῦτο εὐεργετῶν ἡμᾶς ὁ θεὸς, συμβούλους, ἀλλ' οὐχὶ ἐξουσιαστὰς δίδωσι. βασιλέως μὲν γὰρ ἴδιον, ἐπιτάσσειν τοῖς ἀρχομένοις· συμβούλου δὲ, πείθειν ὑπὲρ τῶν συμφερόντων τοὺς βουλομένους. ὥστε καὶ ἡμῶν ἕκαστον, μὴ ὡς ἄρχοντα ἑαυτὸν, ἀλλ' ὡς σύμβουλον παρὰ κυρίου δεδομένον τῷ λαῷ, λογιζέσθω. οὕτως ἦν καὶ ὁ Παῦλος σύμβουλος τῆς καινῆς διαθήκης λέγων, γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος παρὰ κυρίου. μεγάλη δὲ εὐεργεσία, συμβούλου φρονίμου καὶ εὐνοϊκῶς ἔχοντος παρουσία, ἀναπληροῦντος τὸ τῆς συνέσεως ἐλλεῖπον τῶν βουλομένων. ὅσοι δὲ τὸ ἀπὸ

συμβουλῆς ὄφελος δείκνυσι μάλιστα Μωϋσῆς, ὁ πάσῃ αἰγυπτίων σοφίᾳ παιδευθεὶς, ὁ τῷ θεῷ διαλεγόμενος, ὡς ἂν εἴ τις λαλήσοι φίλος φίλῳ. Οὗτος ἔλαβε γνώμην παρὰ τοῦ πενθεροῦ αὐτοῦ Ἰαθὼρ, ὥστε καταστῆσαι χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ δεκάρχους ἐπὶ τὸ κρίνειν τὸν λαόν. καὶ Δαβὶδ δὲ, συμβούλῳ ἐχρήσατο τῷ Χουσὶ, δι' οὗ διεσκέδασε στρατηγικὴν γνώμην τοῦ Ἀρχιτόφελ. καὶ ὅλως ἱερόν τι πρᾶγμα ἡ συμβουλὴ, γνώμης ἕνωσις, ἀγάπης καρπὸς, ταπεινοφροσύνης ἀπόδειξις. ἀλαζονεία γὰρ δεινὴ τὸ μηδενὸς οἴεσθαι χρῄζειν, ἀλλ' ἑαυτοῦ προσέχειν, ὡς μόνῳ τὰ κράτιστα συμβουλεύσασθαι δυναμένῳ. ἡμεῖς δὲ ὀκνοῦμεν ἑαυτοῖς ἐπιδοῦναι τοῖς τὰ δέοντα εἰσηγουμένοις, καὶ αἰσχυνόμεθα τοὺς συνετωτέρους ἡμῶν κατὰ τὸν βίον ὁμολογεῖν· ὁ δὲ τὸν σύμβουλον ἀναμένων καὶ τοῖς ἰδίοις λογισμοῖς καιρὸν δίδωσι, ἐν χρόνῳ πλείονι

μετὰ βασάνου καὶ προσοχῆς διακρῖναι τὸ δέον. Πολὺ τοίνυν τὸ ἀναγκαῖον καὶ χρήσιμον ἐκ τῆς συμβουλῆς τῷ βίῳ τῶν ἀνθρώπων, διὰ τὸ ἕνα μηδένα ἑαυτῷ ἐξαρκεῖν πρὸς ταῦτα, ἀλλὰ δεῖσθαι κοινωνιῶν πλέον κατὰ τὴν τῶν συμφερόντων ἐκλογήν, ἢ κατὰ τὰς ἐνεργείας τὰς σωματικάς. ὥστε ἀσυμβούλευτος ἄνθρωπος, πλοῖόν ἐστιν ἀκυβέρνητον, ὡς ἔτυχε ταῖς φοραῖς τῶν πνευμάτων ἐνδεδομένον. εἰ τοίνυν ἐν ταῖς περὶ τῶν τυχόντων σκέψεσι συμβούλους παραλαμβανόμεθα, ὅταν περὶ ψυχῆς καὶ τῶν διαφερόντων αὐτῇ βουλευώμεθα, πῶς οὐχὶ καὶ τοὺς θαυμαστοὺς ἐπιζητητέον ἡμῖν. ὁ δὲ παρούσης συμβουλῆς ἀγαθῆς, τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορευόμενος τῆς ματαίας, ὅμοιός ἐστι τῷ Ροβοάμ, ὃς ἀτιμάσας τὴν σῴζουσαν γνώμην τῶν πρεσβυτέρων, ἠκολούθει τοῖς νεωτέροις τοῖς συνεκτραφεῖσιν αὐτῷ, δι' οὓς καὶ



τῶν δέκα φυλῶν τῆς βασιλείας ἐξέπεσεν.

Οὕτως αἱ κατὰ τῶν δικαίων βουλαὶ ἐπιστρέφουσιν ἐπὶ τὰς κεφαλὰς τῶν βουλευομένων, ὥσπερ ἀπὸ στερρῶν καὶ ἀντιτύπων σωμάτων τὰ προσπεσόντα βέλη πρὸς τοὺς ἀφιέντας ἐπάνεισι. φυλάσσει γὰρ κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ μεγαλοπρέπεια, νῦν τε ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΚ ΤΩΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. κϐ.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.



Ὅσῳ ἐν τῷ προστάγματι διανοίας τοῦ δημιουργοῦ πολύχουν, τοσοῦτόν ἐστιν, ὅσαι καὶ αἱ τῶν δημιουργηθέντων διαφο-

ραὶ, καὶ κοινότητες, οἷς πᾶσι δι' ἀκριβείας ἐπεξελθεῖν ἴσον ἐστὶ καὶ κύματα πελάγους ἀπαριθμεῖσθαι, ἢ ταῖς κοτύλαις πειρᾶσθαι τὸ ὕδωρ τῆς θαλάσσης ἀπομετρεῖν.

Πῶς γὰρ ἄν τις δι' ἀκριβείας ἐπέλθοι τὰ ἐν τοῖς βίοις τῶν ὀρνίθων ἰδιώματα· πῶς μὲν οἱ πελαργοὶ οὕτω κατὰ τὸν ἕνα καιρὸν οἰκοδομοῦσι τοῖς τῇδε χωρίοις· οὕτω δὲ ὑφ' ἑνὶ συνθήματι πάντες ἀπαίρουσιν, ὅπερ οὐδὲ πόῤῥω ἐστὶ συνέσεως λογικῆς. πῶς δὲ δορυφοροῦσιν αὐτοὺς αἱ κορῶναι καὶ παραπέμπουσιν, ἐμοὶ δοκεῖ, καὶ συμμαχίαν τινὰ παρεχόμεναι πρὸς ὄρνιθας πολεμίους. σημεῖον δέ, πρῶτον μὲν τὸ μὴ φαίνεσθαι ὑπὸ τὸν καιρὸν ἐκεῖνον κορώνην παντάπασιν· ἔπειτα δὲ, ὅτι μετὰ τραυμάτων ἐπανερχόμεναι, ἐναργῆ τοῦ συνασπισμοῦ καὶ τῆς ἐπιμαχίας τὰ σημεῖα κομίζουσι. τίς παρ' αὐταῖς τοὺς τῆς φιλοξενίας διώρισε νόμους· τίς αὐταῖς τὴν ἀπείλησε λιποστρατίου γραφὴν, ὡς μηδὲ

μίαν ἀπολείπεσθαι τῆς περιπομπῆς. αἱ γέρανοι δὲ, τὰς ἐν τῇ νυκτὶ περιφυλακάς, ἐκ περιτροπῆς ὑποδέχονται· καὶ αἱ μὲν καθεύδουσιν, αἱ δὲ κύκλῳ περιϊοῦσαι, πᾶσαν αὐταῖς ἐν τῷ ὕπνῳ παρέχονται τὴν ἀσφάλειαν· εἶτα τοῦ χρόνου τῆς φυλακῆς πληρουμένης, ἡ μὲν βοήσασα, πρὸς ὕπνον ἐτρέπετο· ἡ δὲ τὴν διαδοχὴν ὑποδεξαμένη, ἧς ἔτυχεν ἀσφαλείας, μετέδωκεν ἐν τῷ μέρει. τὴν αὐτὴν καὶ ἐν τῇ πτήσει τὴν εὐταξίαν φυλάττουσιν. ἄλλοτε γὰρ ἄλλη τὴν ὁδηγίαν ἐκδέχεται, καὶ τακτόν τινα χρόνον προκαθηγησαμένη τῆς πτήσεως, εἰς τὸ κατόπιν περιελθοῦσα, τῇ μεθ' ἑαυτὴν τὴν ἡγεμονίαν τῆς ὁδοῦ παραδίδωσιν. οἱ δέ γε ἀπιστοῦντες περὶ τῆς κατὰ τὴν ἀνάστασιν ἀλλοιώσεως, μεμνημένοι τῆς κατὰ τοὺς σῆρας μεταβολῆς, ἐναργῆ λαμβανέτε τῆς ἀναστάσεως ἔννοιαν. καὶ οἱ γελῶντες τὸ μυστήριον ἡμῶν ὡς ἀδυνάτου ὄντος, καὶ ἔξω τῆς φύ-

σεως παρθένον τεκεῖν, τῆς παρθενίας αὐτῇ φυλαττομένης ἀχράντου, ἐνθυμήθητε ὅτι ὁ ἐν τούτῳ εὐδοκήσας θεός, μυρίας ἐκ τῆς φύσεως ἀφορμὰς πρὸς τὴν πίστιν τῶν παραδόξων προλαβὼν κατεβάλλετο. Τινάς τε γὰρ γύπας ἀσυνδυάστως τίκτειν ἐποίησε, καὶ ταῦτα μακροβιωτάτους ὄντας, οἷς γε μέχρις ἑκατὸν ἐτῶν ὡς τὰ πολλά, ἡ ζωὴ παρατείνεται· καὶ ἐν πᾶσιν ἡμῖν τῶν οἰκείων θαυμάτων ἐναργῆ τὰ ὑπομνήματα καταλέλοιπεν. Ἔστι δέ τις καὶ παρὰ τοῖς ἰχθύσι σοφὴ καὶ εὔτακτος διακόσμησις, καὶ ἕκαστον γένος αὐτῶν οἶδε τὴν ἀφωρισμένην αὐτοῖς παρὰ τῆς φύσεως δίαιταν, ὥσπερ πόλεσιν, ἢ κώμαις τισίν, ἢ πατρίσιν ἀρχαίαις, τοῖς ἀποτεταγμένοις αὐτοῖς τῆς θαλάσσης μέρεσιν ἐναυλίζεται. Ἤδη δέ τινες καὶ ἀποδημητικοὶ τῶν ἰχθύων, ὥσπερ ἀπὸ κοινοῦ βουλευτηρίου πρὸς τὴν ὑπερορίαν στελλόμενοι, ὑφ᾽ ἑνὶ συνθήματι πάντες

ἀπαίρουσιν. ἐπειδὰν γὰρ ὁ τεταγμένος καιρὸς τῆς κυήσεως καταλάβοι, ἄλλοι ἀπ᾽ ἄλλων κόλπων μεταναστάντες τῷ κοινῷ τῆς φύσεως νόμῳ διεγερθέντες, ἐπὶ τὴν βόρειον ἐπείγονται θάλασσαν· καὶ ἴδοις ἂν κατὰ τὸν καιρὸν τῆς ἀνόδου, ὥσπερ τι ῥεῦμα τοὺς ἰχθύας ἡνωμένους, καὶ διὰ τῆς Προποντίδος ἐπὶ τὸν Εὔξεινον ῥέοντας. Τίς ὁ κινῶν, ποῖον πρόσταγμα βασιλέως, ποῖα διαγράμματα κατ᾽ ἀγορὰν ἡπλωμένα τὴν προθεσμίαν δηλοῖ· οἱ ξεναγωγοῦντες τίνες. ὁρᾷς τὴν θείαν διάταξιν πάντα πληροῦσαν καὶ διὰ τῶν μακροτάτων διήκουσαν; ἰχθῦς οὐκ ἀντιλέγει νόμῳ θεοῦ, καὶ ἄνθρωποι σωτηρίων διαταγμάτων οὐκ ἀνεχόμεθα; μὴ καταφρόνει τῶν ἰχθύων, ὅτι ἄφωνα παντελῶς καὶ ἄλογα· ἀλλὰ φοβοῦ μὴ καὶ τούτων ἀλογώτερος ᾖς, τῇ διαταγῇ τοῦ κτίσαντος ἀντιστάμενος. Οὐδὲν πρὸς αὐτοῖς ἐξ ἡμισείας ὥπλισται τοῖς ὀδοῦσιν, ὡς

βοῦς παρ' ἡμῖν καὶ πρόβατον. οὐδὲ γὰρ μηρυκάζει τι παρ' αὐτοῖς, εἰ μὴ τὸν σκάρον μόνον ἱστοροῦσί τινες· πάντα δὲ ὀξυτάταις ἀκμαῖς ὀδόντων καταπεπύκνωται, ἵνα μὴ τῇ χρονίᾳ μασήσει ἡ τροφὴ διαῤῥέῃ. ἔμελλε γὰρ εἰ μὴ ὀξέως κατατεμνομένη τῇ γαστρὶ παρεπέμπετο, ἐν τῇ λεπτοποιήσει διαφορεῖσθαι τοῦ ὕδατος. Ἄκουε τοίνυν αὐτῶν μονονουχὶ φωνὴν ἀφιέντων δι' ὧν ποιοῦσιν, ὅτι εἰς διαμονὴν τοῦ γένους τὴν μακρὰν ταύτην ἀποδημίαν στελλόμεθα· οὐκ ἔχουσιν ἴδιον λόγον, ἔχουσι δὲ τὸν τῆς φύσεως νόμον, ἰσχυρῶς ἐνιδρυμένον, καὶ τὸ πρακτέον ἐπιδεικνῦντα. Βαδίσωμεν, φησίν, ἐπὶ τὸ βόρειον πέλαγος· γλυκύτερον γάρ τῆς λοιπῆς θαλάσσης τὸ ὕδωρ ἐκεῖνο, διότι ἐπ' ὀλίγον αὐτῇ προσδιατρίβων ὁ ἥλιος, οὐκ ἐξάγει αὐτῆς ὅλον διὰ τῆς ἀκτῖνος τὸ πότιμον· χαίρει δὲ τοῖς γλυκέσι καὶ τὰ θαλάσσια, ὅθεν καὶ ἐπὶ ποταμοὺς ἀνανήχεται πολλά-

κις, καὶ πόῤῥω θαλάσσης φέρεται. ἐκ τούτου περιτιμότερος αὐτοῖς ὁ πόντος τῶν λοιπῶν ἐστὶ κόλπων, ὡς ἐπιτήδειος ἐναποκυῆσαι καὶ θρέψαι τὰ ἔκγονα. ἐπειδὰν δὲ τὸ σπουδαζόμενον ἀρκούντως ἐκπληρωθῇ, πάλιν πανδημεὶ πάντες ὑποστρέφουσιν οἴκαδε. καὶ τίς ὁ λόγος, ἀκούσωμεν παρὰ τῶν σιωπώντων· ἐπιπόλαιος, φησὶν, ἡ βορεινὴ θάλασσα, καὶ ὑπτία περικειμένη τῶν ἀνέμων ταῖς βίαις, ὀλίγας ἀκτὰς καὶ ὑποδρομὰς ἔχουσα. διὸ καὶ ἐκ πυθμένος οἱ ἄνεμοι ῥᾳδίως αὐτὴν ἀναστρέφουσιν, ὡς καὶ τὴν βυθίαν ψάμμον τοῖς κύμασιν ἀναμίγνυσθαι. ἀλλὰ καὶ ψυχρὰ χειμῶνος ὥρα ἀπὸ πολλῶν καὶ μεγάλων ποταμῶν πληρουμένη. διὰ τοῦτο ἐφ᾽ ὅσον μέτριον ἀπολαύσαντες αὐτῆς ἐν τῷ θέρει, πάλιν χειμῶνος ἐπὶ τὴν ἐν τῷ βυθῷ ἀλέαν, καὶ τὰ προσήλια τῶν χωρίων ἐπείγονται, καὶ φυγόντες τὸ δυσήνεμον τῶν ἀρκτῴων τοῖς ἐπ᾽ ἔλαττον ταρασσομένοις κόλ

ποις. εἶδον ταῦτα ἐγώ, καὶ τὴν ἐπὶ πᾶσιν τοῦ θεοῦ σοφίαν ἐθαύμασα. Εἰ τὰ ἄλογα ἐπινοητικὰ τῆς ἰδίας αὐτῶν σωτηρίας, καὶ οἶδε τὸ αἱρετὸν αὐτῷ καὶ τὸ φευκτὸν ὁ ἰχθύς, τί ἐροῦμεν ἡμεῖς οἱ λόγῳ τετιμημένοι, καὶ νόμῳ πεπαιδευμένοι, ἐπαγγελίαις προτραπέντες, ἐν πνεύματι σοφισθέντες, εἶτα τῶν ἰχθύων ἀλογώτερον τὰ καθ' ἑαυτοὺς διατιθέμενοι· εἴπερ οἱ μὲν ἴσασι τοῦ μέλλοντός τινα ποιεῖσθαι πρόνοιαν, ἡμεῖς δὲ ἐκ τῆς πρὸς τὸ μέλλοντος ἀνελπιστίας δι' ἡδονῆς βοσκηματώδους τὴν ζωὴν ἀναλίσκομεν. Ἂν δὲ ἐπέλθωμεν τῷ λόγῳ, πόση τοῖς ἀλόγοις ζώοις ἐνυπάρχει ἀδίδακτος καὶ φυσικὴ τῆς ἑαυτῶν ζωῆς ἐπιμέλεια, οὐχὶ πρὸς τὴν ἡμῶν αὐτῶν φυλακήν, καὶ τῆς τῶν ψυχῶν σωτηρίας πρόνοιαν κινηθησόμεθα, ὅταν εὑρεθῶμεν καὶ τῆς μιμήσεως τῶν ἀλόγων ἀπολιπόμενοι; Ἄρκτος πολλάκις βαθυτάταις κατατρωθεῖσα πληγαῖς,

ἑαυτὴν

ἑαυτὴν ἰατρεύει πάσαις μηχαναῖς τῷ φλόμῳ τούτῳ ξηρὰν τὴν φύσιν ἔχοντι τὰς ὠτειλὰς περιβύουσα. ἴδοις δ' ἂν καὶ ἀλώπεκα τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἰωμένην. χελώνη δὲ σαρκῶν ἐχίδνης ἐμφορηθεῖσα, διὰ τῆς τοῦ ὀριγάνου ἀντιπαθείας φεύγει τὴν βλάβην τοῦ ἰοβόλου. καὶ ὄφις τὴν ἐν τοῖς ὀφθαλμοῖς βλάβην ἐξιᾶται, βοσκηθεὶς μαράθρῳ. Καὶ βόες μὲν κατακεκλεισμένοι χρονίως ἐν ὥρᾳ χειμερινῇ, ἤδη ποτὲ τοῦ ἔαρος προσιόντος, τῇ φυσικῇ αἰσθήσει τὴν μεταβολὴν ἐκδεχόμενοι, ἐκ τῶν βοοστασίων πρὸς τὰς ἐξόδους ὁρῶσι, πάντες ὑφ' ἑνὶ συνθήματι μεταβαλόντες τὸ σχῆμα.

Πρόβατα δὲ χειμῶνος προσιόντος, λάβρως τὴν τροφὴν ἐπεμβάλλεται, ὥσπερ ἐπισιτιζόμενα πρὸς τὴν μέλλουσαν ἔνδειαν. Τί δὲ διὰ τούτων ἡμῖν ἐνδείκνυται τοῖς ἀνθρώποις; ὃ καὶ παρὰ τοῖς ἀλόγοις ἵνα εἶναι τοῦ μέλλοντος αἴσθησιν, ὥστε καὶ

ἡμᾶς μὴ τῇ παρούσῃ ζωῇ προσεστηκέναι, ἀλλ' ὑπὲρ τοῦ μέλλοντος αἰῶνος τὴν πᾶσαν ἔχειν σπουδήν. Πόθεν ἐν μυρίοις προβάτοις ὁ ἀρνὸς τῶν σηκῶν ἐξαλλόμενος, οἶδε μὲν τὴν φωνὴν τῆς μητρὸς, καὶ πρὸς αὐτὴν ἐπείγεται· ἐπιζητεῖ δὲ τὰς οἰκείας πηγὰς τοῦ γάλακτος· κἂν πενιχραῖς ταῖς μητρῴαις περιτύχῃ θηλαῖς, ἐκείναις ἀρκεῖται, παραδραμὼν οὔθατα βαρυνόμενα· καὶ ἡ μήτηρ ἐν μυρίοις ἀρνάσιν ἐπιγινώσκει τὸ ἴδιον. φωνὴ μία, χρόα ἡ αὐτὴ, ὀσμὴ παρὰ πάντων ὁμοία, ὅσον τῇ ἡμετέρᾳ ὀσφρήσει παρίσταται· ἀλλ' ὅμως ἐστί τις αὐτοῖς αἴσθησις, τῆς ἡμετέρας καταλήψεως ὀξυτέρα, καθ' ἣν ἑκάστῳ πάρεστιν ἡ τοῦ οἰκείου διάγνωσις. οὔπω οἱ ὀδόντες τῷ σκύλακι, καὶ ὅμως διὰ τοῦ στόματος ἀμύνεται τὸν λυπήσαντα· οὔπω τὰ κέρατα τῷ μόσχῳ, καὶ οἶδεν ποῦ τὰ ὅπλα αὐτῷ ἐκφυήσεται. διότι ὁ δημιουργήσας αὐτὰ θεὸς, τὴν τοῦ λό-

γοῦ ἔλλειψιν διὰ τῆς τῶν αἰσθητηρίων περιου-
σίας παρεμυθήσατο. Καὶ μηδεὶς ἐγκαλεί-
τω τῷ ποιητῇ, ὅτι τὰ ἰοβόλα ζῶα φθαρτι-
κὰ τὰ πολέμια τῇ ζωῇ ἡμῶν ἐπεισήγαγεν·
ἢ οὕτω δή αὖ τις τῷ παιδαγωγῷ ἐγκαλοίη,
εἰς τάξιν ἄγοντι τὴν εὐκολίαν τῆς νεότη-
τος, καὶ πληγαῖς, καὶ μάστιξι τὸ ἀκόλαστον σω-
φρονίζοντι. πέποιθας ἐπὶ κύριον; ἔχεις τὴν
διὰ πίστεως ἐξουσίαν πατεῖν ἐπάνω ὄ-
φεων καὶ σκορπίων. οὐχ ὁρᾷς ὅτι φρυγανι-
ζομένῳ τῷ Παύλῳ ἐναψαμένη ἡ ἔχις, οὐ-
δεμίαν προσετρίψατο βλάβην, διὰ τὸ
πλήρη πίστεως εὑρεθῆναι τὸν ἅγιον; εἰ δὲ
ἄπιστος εἶ, φοβοῦ μὴ μᾶλλον τὸ θηρίον, ἢ
τὴν σεαυτοῦ ἀπιστίαν, δι' ἧς πάσῃ φθορᾷ σε-
αυτὸν εὐάλωτον κατεσκεύασας. Καὶ γὰρ
πάντα ὅσα πάσχομεν σκυθρωπὰ, ἐκ τῆς θείας
διαταγῆς ἀπονεμόμεθα. οὐκ ἐᾷ γὰρ ἡμᾶς
ἐκδότους ταῖς πονηραῖς κολαστικαῖς δυνά-
μεσιν, ἀλλ' αὐτὸς τὰ μέτρα ὁρίζει τῶν κολά-

σεων, στοχαζόμενος τῆς δυνάμεως τῶν θερα-
πευομένων, καὶ πᾶν ὅσον εἰς ἡμᾶς ἐκ θείας
δυνάμεως ἀγαθὸν φθάσῃ, τῆς πάντα ἐνερ-
γούσης χάριτος ἐνέργειαν εἶναι φαμέν. Οὐ-
δὲν γὰρ ἀπρονόητον οὐδὲ ἠμελημένον πα-
ρὰ τῷ θεῷ. πάντα σκοπεύει ὁ ἀκοίμητος
ὀφθαλμός· πᾶσι πάρεστι, χορηγῶν ἑκάστῳ
τὴν σωτηρίαν. πολλάκις γοῦν καὶ ἐν τοῖς μι-
κροτάτοις ἡ σοφία αὐτοῦ καὶ ἡ πρόνοια δια-
φαίνεται. ὁ γὰρ οὐρανὸν διαπλώσας, καὶ τὰ ἀ-
πλετα μεγέθη τῶν πελάγων ἀναχέας, οὗτός
ἐστιν ὁ καὶ τὸ λεπτότατον κέντρον τῆς μελίσσης
κοιλάνας ὥσπερ αὐλόν, ὥστε τὸν ἰὸν δι' αὐτοῦ
ἐκχεῖσθαι. ὀφείλομεν οὖν εἰπεῖν μετὰ τοῦ προ-
φήτου, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε·
πάντα ἐν σοφίᾳ ἐποίησας. αὐτῷ πρέπει ἡ
δόξα, καὶ ἡ τιμή, καὶ ἡ μεγαλοπρέπεια, τῷ πα-
τρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ
ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου, λόγ. κγ.

ΠΕΡΙ ΨΥΧΗΣ.



Ο τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαί τινα, ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξοι, οὐ διαγινώσκοντός ἐστιν ἑαυτόν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος, ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος· ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν ὅ,τι ποτέ ἐστιν, ἑαυτὸν ἐπιγνώσεται· τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν ἀδυνατώτερον, ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Οὔτε γὰρ ἐν κηρῷ γράψαι δυνατὸν μὴ προκαταλεάναντα τοὺς ἐναποκειμένους χαρακτῆρας, οὔτε ψυχῇ θεῖα διδάγματα παραθέσθαι, μὴ τὰς ἐκ τοῦ ἔθους προλήψεις αὐτῆς ἐξελόντα. εἰ γὰρ ἐπι-

λείπει τῇ ψυχῇ λογισμὸς ἀγαθός, δηλονότι ἐπιλείπει αὐτῇ φωτισμός, οὐ παρὰ τὸ ἐπιλείπειν τὸ φωτίζον, ἀλλὰ παρὰ τὸ νυστάζειν τὸ φωτισθῆναι ὀφεῖλον. Οὔτε γὰρ σώματι ζῆν μὴ ἀναπνέοντι δυνατόν, οὔτε ψυχῇ συνεστάναι μὴ γνωριζούσῃ τὸν κτίσαντα· θεοῦ γὰρ ἄγνοια, θάνατός ἐστι ψυχῆς.

Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέον, ὥσπερ ἐκ δεσμωτηρίου τῆς πρὸς τὸ σῶμα κοινωνίας, αὐτὴν διὰ φιλοσοφίας λύοντας, ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους. οἱ γὰρ, τοῦ μὲν σώματος ὡς ἂν κάλλιστα ἔχοι φροντίζοντες, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶντες, οὐδὲν διαφέρουσι τῶν περὶ μὲν τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων. Μήτε οὖν τοῖς σοῖς, μήτε τοῖς περὶ σέ, ἀλλὰ σεαυ-

τῷ μόνῳ πρόσεχε. ἄλλοι γάρ ἐσμεν ἡμεῖς αὐτοὶ, καὶ ἄλλοι τὰ ἡμέτερα, καὶ ἄλλοι τὰ περὶ ἡμᾶς. ἡμεῖς μὲν γάρ ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς, καθ' ὃν κατ' εἰκόνα τοῦ κτίσαντος γεγενήμεθα· ἡμέτερα δὲ, τὸ σῶμα, καὶ αἱ δι' αὐτοῦ αἰσθήσεις· περὶ ἡμᾶς δὲ, χρήματα, τέχναι, καὶ ἡ λοιπὴ τοῦ βίου κατασκευή. μὴ οὖν τῇ σαρκὶ πρόσεχε, μηδὲ τὸ ταύτης ἀγαθὸν ἐκ παντὸς τρόπου δίωκε, ἀλλὰ τὴν ψυχὴν κατακόσμει, καὶ ταύτης ἐπιμελοῦ, ὥστε πάντα τὸν ἐκ τῆς πονηρίας ἐπιγινόμενον αὐτῇ ῥύπον διὰ τῆς προσευχῆς ἀποκαθαίρεσθαι. Οὔτε γὰρ κατόπτρῳ ῥυπῶντι δυνατὸν τῶν εἰκόνων δέξασθαι τὰς ἐμφάσεις, οὔτε ψυχὴν ταῖς βιωτικαῖς περιειλημμένην μερίμναις, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου πνεύματος τὰς ἐλλάμψεις. φύσει μὲν οὖν ἐστὶ καλὸν ἡγεῖσθαι χρὴ τὸ τῆς ψυ-

χῆς ἀγαθόν· ψυχῆς δὲ θησαύρισμα, σώματος ἔνδεια. τούτου γὰρ πλουτοῦντος, ἐκείνη πένεται. Καὶ ὥσπερ ἐν ταῖς ῥοπαῖς τῶν ζυγῶν, ἐὰν μίαν καταβαρύνῃς πλάστιγγα, κουφοτέραν πάντως τὴν ἀντικειμένην ποιήσεις· οὕτω καὶ ἐπὶ σώματος καὶ ψυχῆς, ὁ τοῦ ἑτέρου πλεονασμὸς, ἀναγκαίαν ποιεῖται τὴν ἐλάττωσιν τοῦ ἑτέρου. Σώματος μὲν γὰρ εὐπαθοῦντος, καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄτονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν· ψυχῆς δὲ εὐεκτούσης, καὶ διὰ τῆς τῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος ὑψουμένης, ἑπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι. Καὶ ὥσπερ οὐδεὶς ἡμᾶς λόγος διδάσκει τὴν νόσον μισεῖν, ἀλλ' αὐτόματοι ἔχομεν τὴν πρὸς τὰ λυποῦντα διαβολήν· οὕτω καὶ ψυχῇ ἐστί τις ἀδίδακτος ἔκκλισις τοῦ κακοῦ· κακὸν δὲ πᾶν ἀρρώστημα ψυχῆς· ἡ δὲ ἀρετὴ λόγον

ὑγείας ἐπέχει· καλῶς γὰρ ὡρίσαντό τινες ὑγείαν εἶναι τὴν διασώζουσαν τὴν κατὰ φύσιν ἐνέργειαν, ὃ καὶ ἐπὶ τῆς κατὰ ψυχὴν εὐεξίας εἰπών τις οὐχ ἁμαρτήσεται τοῦ πρέποντος.

Οὐδεὶς γὰρ περιορᾷ τὸ ἑαυτοῦ τέκνον μέλλον καταπίπτειν εἰς βύθιον, ἢ ἐμπεσὸν ἐναφίησι τῷ πτώματι· πόσον δὲ δήπουπερ, ψυχὴν εἰς βάθος κακῶν ἐμπεσοῦσαν, ἐναφεῖναι τῇ ἀπωλείᾳ. Δεῖ τοιγαροῦν τὴν ψυχὴν, ἄρχειν μὲν τῶν παθῶν, δουλεύειν δὲ τῷ θεῷ. ἀμήχανον γὰρ αὐτὴν καὶ ὑπὸ τῆς ἁμαρτίας βασιλεύεσθαι, καὶ ὑπὸ τοῦ θεοῦ· ἀλλὰ δεῖ, κακίας μὲν ἐπικρατεῖν, τῷ δεσπότῃ δὲ τῶν ὅλων ὑποτετάχθαι. Καθάπερ δὲ φυτοῦ, οἰκεία μὲν ἀρετὴ τῷ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῆς, προηγουμένως μὲν καρπὸς, ἡ ἀλήθεια· οὐκ ἄχαρι γε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλ

λα, σκέπην δὲ ἵνα τῷ καρπῷ, καὶ ὄψιν οὐκ ἄωρον περιεχόμενα. Καὶ γὰρ οὐδεὶς γραφεὺς χαρακτῆρα σώματος οὕτως ἀκριβῶς ἐκλαβεῖν δύναται, ὡς λόγος ἐξεικονίσαι τῆς ψυχῆς τὰ ἀπόρρητα. αὐτῆς τοίνυν ἐπιμελώμεθα, ὅση δύναμις, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑτρὸς ἡμῶν Βασιλείου, λόγ. κη.

ΠΕΡΙ ΤΙΜΗΣ ΓΟΝΕΩΝ, ΚΑΙ ΓΗΡΩΣ, ΚΑΙ ΝΕΟΤΗΤΟΣ.

Τὸ ἐξεγέρθητι κύριε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω, δύναται μὲν καὶ ἐπὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἀναφέρεσθαι, παρακαλοῦντος τοῦ προφήτου ἐξεγερθῆναι τὸν κριτὴν εἰς ἐκδίκησιν παντὸς ἁμαρτήματος. καὶ τὰς προδιατεταγμένας ἡμῖν ἐντολὰς τελεσθῆναι· δύναται δὲ καὶ ἐπὶ τὴν τότε κατάστασιν τῶν πραγμάτων λαμβάνεσθαι, παρακαλοῦντος τοῦ προφήτου ἐξεγερθῆναι τὸν κριτὴν εἰς ἐκδίκησιν τοῦ προστάγματος οὗ ἐνετείλατο. πρόσταγμα δὲ ἦν, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, παρὰ θεοῦ δεδομένον, ὅπερ

παρέβη ὁ υἱὸς αὐτοῦ· διὸ παρακαλεῖ εἰς αὐτοῦ τε ἐκείνου ἐπανόρθωσιν, καὶ σωφρονισμὸν τῶν πολλῶν, μὴ μακροθυμεῖν τὸν θεόν· ἀλλ' ἀναστῆναι ἐν ὀργῇ, καὶ διαναστάντα ἐκδικῆσαι τὴν ἰδίαν ἐντολήν. οὐ γὰρ ἐμέ, φησίν, ἐκδικήσεις, ἀλλὰ τὸ πρόσταγμα τὸ σὸν καταφρονηθέν, ὃ αὐτὸς ἐνετείλω. δῆλον γὰρ ὅτι ἑνὸς ἀδίκου σωφρονισθέντος, πολλοὶ ἐπιστρέψουσι. Καίτοι γε ἡ περὶ τοὺς γηράσαντας τῶν πελαργῶν πρόνοια, ἐξαρκεῖ καὶ μόνη τοὺς παῖδας ἡμῶν, εἰ προσέχειν βούλονται, φιλοπάτορας καταστῆσαι. πάντως γὰρ οὐδεὶς οὕτως ἐλλείπων κατὰ τὴν φρόνησιν, ὡς μὴ αἰσχύνης ἄξιον κρίνειν, τῶν ἀλογωτάτων ὀρνίθων ὑστερίζειν κατ' ἀρετήν. ἐκεῖνοι γὰρ τὸν πατέρα ὑπὸ τοῦ γήρως πτερορρυήσαντα, περιστάντες ἐν κύκλῳ τοῖς οἰκείοις πτεροῖς περιθάλπουσι, καὶ τὰς τροφὰς ἀφθόνως παρασκευάζοντες, τὴν δυνατὴν καὶ ἐν τῇ πτήσει παρέχοντες βοή-

θαι, ἠρέμα ϖερὶ τῷ ϖτερῷ κουφίζοντες ἑκατέρωθεν. καὶ οὕτω τοῦτο παρὰ πᾶσι διαβεβόηται, ὥστε ἤδη τινὲς τὴν τῶν εὐεργετημάτων ἀντίδοσιν, ἀντιπελάργωσιν ὀνομάζουσι. Σὺ τοίνυν εἰ βούλει περὶ τῶν μελλόντων πεπεῖσθαι, ποίει τὰ δοκοῦντα κατὰ τὸν νόμον, καὶ ἀνάμενε τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος, ἧς κύριος ὁ θεός σου δίδωσί σοι.

Εὐγνώμονες γὰρ παῖδες μεγάλα ποιοῦσι τῶν πατέρων τὰ ἐγκώμια. τὰ τέκνα, ἀγαπᾶτε τοὺς πατέρας· οἱ γονεῖς, μὴ παροργίζετε τὰ τέκνα, ὁ θεῖος ἀπόστολος παραινεῖ. εἰ γὰρ λέαινα στέργει τὰ ἐξ αὐτῆς, καὶ λύκος ὑπὲρ σκυλάκων μάχεται, τί εἴπῃ ἄνθρωπος καὶ τῆς ἐντολῆς παρακούων, καὶ τὴν φύσιν παραχαράττων, ὅταν ἢ παῖς ἀτιμάζων γῆρας πατρὸς, ἢ πατὴρ διὰ δευτέρων γάμων, τῶν προτέρων παίδων ἐπι-

λανθάνηται. Ἀδικώτατος περὶ τὴν τῶν ἐκγόνων ἐκτροφὴν ὁ ἀετός· δύο γὰρ ἐξάγων νεοσσοὺς, τὸν ἕτερον ἄγαν εἰς γῆν καταῤῥήγνυσι, ταῖς πληγαῖς τῶν πτερῶν ἀπωθούμενος· τὸν δὲ ἕτερον μόνον ἀναλαβὼν οἰκειοῦται, διὰ τὸ τῆς τροφῆς ἐπίπονον ἀποποιούμενος ὃν ἐγέννησεν· ἀλλ' οὐκ ἐᾷ τοῦτον διαφθαρῆναι ἡ φήνη. ὑπολαβοῦσα γὰρ αὐτὸν, τοῖς οἰκείοις αὐτῆς νεοσσοῖς συνεκτρέφει. τοιοῦτοι τῶν γονέων οἱ ἐπὶ προφάσει πενίας ἐκτιθέμενοι τὰ νήπια, ἢ καὶ ἐν τῇ διανομῇ τοῦ κλήρου ἀνισότατοι πρὸς τὰ ἔκγονα. δίκαιον γὰρ ὥσπερ ἐξ ἴσου μεταδεδώκασι τοῦ εἶναι, οὕτω καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἴσως αὐτοῖς καὶ ὁμοτίμως παρέχειν. μὴ μιμήσῃ τῶν γαμψωνύχων τὸ ἀπηνὲς, οἱ ἐπειδὰν ἴδωσι τοὺς ἑαυτῶν νεοττοὺς καταθαρροῦντας λοιπὸν τῆς πτήσεως, ἐκβάλλουσι τῆς καλιᾶς, τύπτοντες τοῖς πτεροῖς, καὶ ὠθοῦντες, καὶ οὐδεμίαν ἐπιμέλειαν

ποιοῦνται πρὸς τὸ λοιπόν. ζήλωσαι τῆς κορώνης τὸ φιλότεκνον, ἣ καὶ πετομένων ἤδη παρέπεται, σιτίζουσα αὐτοὺς καὶ ἐκτρέφουσα μέχρι πλείστου. Διαφέρει γὰρ τοῦ νηπίου καθ' ἡλικίαν οὐδὲν ὁ ἐν ταῖς φρεσὶ νηπιάζων· πολιὰ δέ ἐστι φρόνησις ἐν ἀνθρώποις. πλεῖον γὰρ τῷ ὄντι εἰς πρεσβυτέρου σύστασιν, τῆς ἐν θριξὶ λευκότητος, τὸ ἐν φρονήσει πρεσβυτερικόν. ἐπὴν γάρ τις ᾖ κατὰ τὸν σοφὸν Δανιὴλ, νέος μὲν τὸ σῶμα, πολιὸς δὲ τὴν φρόνησιν, δικαιότερος προετιμᾶτο τῶν τὰς σωματικὰς πολιὰς ἐν ἀκολάστῳ προαιρέσει προφερόντων. καὶ γὰρ παιδάριον ὄντα τὸν Δανιὴλ, καὶ νεώτερον κατὰ τὴν αἰσθητὴν ἡλικίαν, τὴν δὲ νοητὴν πολιὰν ἐπὶ τῆς φρονήσεως ἄγοντα, μετῆλθε τοῦ πρεσβυτερίου τὸ χάρισμα· οὕτως ἐνδέχεταί ποτε πρεσβυτέρων ῥαθύμως καὶ ἠμελημένως βιούντων, προτιμοτέρους εὑρίσκεσθαι νέους, ὡς πρεσβυτέρους ὄντας διὰ τὴν πολιῶσαν

αὐτὴν τῆς ψυχῆς ἀρετήν. ἔστι δὲ καὶ χαλεπωτάτη ζημία τὸ ὑπὸ νεανίσκων ἀφρόνων ἄγεσθαι πόλιν· κοῦφον γὰρ ἡ νεότης, καὶ εὐκίνητον πρὸς τὰ φαῦλα. ἐπιθυμίαι δυσκάθεκτοι, ὀργαὶ θηριώδεις, περιπέτειαι καὶ ὕβρεις, ὑπερηφανίαι καὶ φυσιώσεις, σύντροφα τῇ νεότητι πάθη· φθόνοι πρὸς τὸ ὑπερέχον, ὑποψίαι πρὸς τὸ οἰκεῖον, μυρίων κακῶν ἑσμὸς συνέζευκται τῇ νεότητι· ὧν πάντων ἀνάγκη ἀπολαύειν τοὺς ἀρχομένους, διότι τὰ τῶν ἀρχόντων κακὰ, συμφοραὶ τοῖς ἀρχομένοις γίνονται. ἐντεῦθεν τὰ περὶ τῆς ἁλώσεως Ἱεροσολύμων τῆς τελευταίας ταύτης συνέβη κακὰ, ὅτε συμπεσόντες ἀλλήλοις, στάσεως καὶ φόνου τὴν πόλιν ἐνέπλησαν, οὐδὲ ὑπὸ τῶν περιεστοιχισμένων αὐτοῖς πολεμίων, εἰς τὴν ἀναγκαίαν ὁμόνοιαν οἱ πολῖται συνελαυνόμενοι, ἀλλὰ περὶ τῶν ἐσχάτων ἀγωνιῶντες, τῆς πόλεως ἤδη λαμβανομένης, τῶν τειχῶν καταρριπτουμένων

ῥιπτουμένων, τῶν πολεμίων εἰσερχομένων, ὑπὸ φιλαρχίας καὶ φιλοπρωτείας ἀλλήλοις ἀποπίπτεσθαι. καὶ ταῦτα ἔπαθον, διὰ τὸ ἀρθῆναι ἀπ' αὐτῶν προφήτην, καὶ στρατηγὸν, καὶ πρεσβύτερον, καὶ θαυμαστὸν σύμβουλον· ἐπιστῆναι δὲ αὐτοῖς ἄρχοντας νεανίσκους, καὶ ἐμπαίκτας αὐτῶν κυριεύσαι.

Ἵν' οὖν μὴ καὶ ἡμῖν τὰ αὐτὰ ἐκείνοις συμβαίη, τὸ μετ' ἀλλήλοις ἀποπίπτειν φύγωμεν· τὴν δὲ ὁμόνοιαν, καὶ τὴν εἰς ἀλλήλους τιμὴν καὶ εἰρήνην διώξωμεν, ὅπως μετ' οὗ ἀσφαλῶς βιῶσαι, τε τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Pag. 7. verſ. incipiente ἀποστρεφ. lege
τὰς ἀμαρτίας,

8, οὔτε ποιῶν κατὰ παρέκκλησιν,

9, Διὸ ἀρετῆς ἡμῶν

142, παρὰ βήμ. κομίσηται

152, φαντάσματα.

216, ψοις, ψοῖς

275, ζωὴν, ἐψεύσω,

Breui has orationes Latinas, typis cuſas dabimus.